VERSION GRECQUE

Quelques traits de Socrate

Socrate est célèbre pour ses prises de position paradoxales et ses saillies spirituelles. L'auteur de cet extrait livre à son lecteur quelques anecdotes mémorables.

Χαρμίδου τε οἰκέτας αὐτῷ διδόντος, ἵν' ἀπ' αὐτῶν προσοδεύοιτο, οὐχ εἵλετο· καὶ τὸ κάλλος ὑπερεῖδεν Ἀλκιβιάδου κατά τινας. Καὶ ἐπῄνει σχολὴν ὡς κάλλιστον κτημάτων, καθὰ καὶ Ξενοφῶν ἐν Συμποσίῳ φησίν. Ἔλεγε δὲ καὶ ἓν μόνον ἀγαθὸν εἶναι, τὴν ἐπιστήμην, καὶ ἓν μόνον κακόν, τὴν ἀμαθίαν· πλοῦτον δὲ καὶ εὐγένειαν οὐδὲν σεμνὸν ἔχειν, πᾶν δὲ τοὐναντίον κακόν. Εἰπόντος γοῦν τινος αὐτῷ ὡς εἴη Ἀντισθένης μητρὸς Θρᾴττης· « Σὺ δ' ᾤου », ἔφη, « οὕτως ἂν γενναῖον ἐκ δυεῖν Ἀθηναίων γενέσθαι ; » Φαίδωνα δὲ δι' αἰχμαλωσίαν ἐπ' οἰκήματος καθήμενον προσέταξε Κρίτωνι λυτρώσασθαι, καὶ φιλόσοφον ἀπειργάσατο.

Ἀλλὰ καὶ λυρίζειν ἐμάνθανεν ἤδη γηραιός, μηδὲν λέγων ἄτοπον εἶναι ἅ τις μὴ οἶδεν ἐκμανθάνειν. Ἔτι τε ὠρχεῖτο συνεχές, τῇ τοῦ σώματος εὐεξίᾳ λυσιτελεῖν ἡγούμενος τὴν τοιαύτην γυμνασίαν, ὡς καὶ Ξενοφῶν ἐν Συμποσίῳ φησίν. Ἔλεγε δὲ καὶ προσημαίνειν τὸ δαιμόνιον τὰ μέλλοντα αὐτῷ· τό τε εὖ ἄρχεσθαι μικρὸν μὲν μὴ εἶναι, παρὰ μικρὸν δέ[1]· καὶ εἰδέναι μὲν μηδὲν πλὴν αὐτὸ τοῦτο, τὸ μηδὲν εἰδέναι. Τούς τε τὰ ἀώρια πολλοῦ ἐωνημένους ἀπογινώσκειν ἔλεγεν εἰς τὰς ὥρας ἐλθεῖν. Καί ποτε ἐρωτηθείς, τίς ἀρετὴ νέου, « Τὸ μηδὲν ἄγαν », εἶπεν.

DIOGENE LAËRCE

[1] παρὰ μικρὸν δέ : « mais cela tient à peu de chose ».

VERSION GRECQUE

Durée : 4 heures

<u>Zeus indulgent, mais rusé</u>

Invité à banqueter sur l'Olympe, le mortel Ixion a osé faire des avances à Héra, qui s'en indigne auprès de Zeus. Ce dernier entend résoudre le problème avec tact.

ΖΕΥΣ
Ὁ δ' ἔρως βίαιόν τί ἐστι καὶ οὐκ ἀνθρώπων μόνον ἄρχει, ἀλλὰ καὶ ἡμῶν αὐτῶν ἐνίοτε.

ΗΡΑ
Σοῦ μὲν καὶ πάνυ οὗτός γε δεσπότης ἐστὶ καὶ ἄγει σε καὶ φέρει τῆς ῥινός, φασίν, ἕλκων, καὶ σὺ ἕπῃ αὐτῷ ἔνθα ἂν ἡγῆταί σοι, καὶ ἀλλάττῃ ῥᾳδίως ἐς ὅ τι ἂν κελεύσῃ, καὶ ὅλως κτῆμα καὶ παιδιὰ τοῦ ἔρωτος σύ γε · καὶ νῦν τῷ Ἰξίονι οἶδα καθότι συγγνώμην ἀπονέμεις ἅτε καὶ αὐτὸς μοιχεύσας ποτὲ αὐτοῦ τὴν γυναῖκα, ἥ σοι τὸν Πειρίθουν ἔτεκεν.

ΖΕΥΣ
Ἔτι γὰρ σὺ μέμνησαι ἐκείνων, εἴ τι ἐγὼ ἔπαισα εἰς γῆν κατελθών ; Ἀτὰρ οἶσθα ὅ μοι δοκεῖ περὶ τοῦ Ἰξίονος ; Κολάζειν μὲν μηδαμῶς αὐτὸν μηδὲ ἀπωθεῖν τοῦ συμποσίου · σκαιὸν γάρ · ἐπεὶ δὲ ἐρᾷ καὶ ὡς φῄς δακρύει καὶ ἀφόρητα πάσχει –

ΗΡΑ
Τί, ὦ Ζεῦ ; Δέδια γάρ, μή τι ὑβριστικὸν καὶ σὺ εἴπῃς.

ΖΕΥΣ
Οὐδαμῶς · ἀλλ' εἴδωλον ἐκ νεφέλης πλασάμενοι αὐτῇ σοι ὅμοιον, ἐπειδὰν λυθῇ τὸ συμπόσιον κἀκεῖνος ἀγρυπνῇ, ὡς τὸ εἰκός, ὑπὸ τοῦ ἔρωτος, παρακατακλίνωμεν αὐτῷ φέροντες · οὕτω γὰρ ἂν παύσαιτο ἀνιώμενος οἰηθεὶς τετυχηκέναι τῆς ἐπιθυμίας.

ΗΡΑ
Ἄπαγε, μὴ ὥρασιν ἵκοιτο τῶν ὑπὲρ αὐτὸν ἐπιθυμῶν.

ΖΕΥΣ
Ὅμως ὑπόμεινον, ὦ Ἥρα. Ἢ τί γὰρ ἂν καὶ πάθοις δεινὸν ἀπὸ τοῦ πλάσματος, εἰ νεφέλῃ ὁ Ἰξίων συνέσται ;

LUCIEN

COMMENTAIRE D'UN TEXTE GREC

La mesure du bonheur

Crésus, roi de Lydie qui a mis sous son joug les cités grecques d'Ionie, reçoit la visite de Solon, le législateur athénien. Après avoir fait étalage de son pouvoir et de ses richesses, il lui demande qui il juge être l'homme le plus heureux du monde ; le sage lui cite Tellos, un Athénien qui eut de beaux enfants et périt glorieusement au combat, puis Cléobis et Biton, deux frères argiens qui furent robustes, braves et pieux et à qui Héra accorda une mort douce et rapide. Crésus s'indigne : Solon compte-t-il donc pour rien la puissance et la fortune qu'il détient ?

« Ὦ Κροῖσε, ἐπιστάμενόν με τὸ θεῖον πᾶν ἐὸν φθονερόν τε καὶ ταραχῶδες ἐπειρωτᾷς ἀνθρωπηίων πρηγμάτων πέρι. Ἐν γὰρ τῷ μακρῷ χρόνῳ πολλὰ μὲν ἔστι ἰδεῖν τὰ μή τις ἐθέλει, πολλὰ δὲ καὶ παθεῖν. Ἐς γὰρ ἑβδομήκοντα ἔτεα οὖρον τῆς ζόης ἀνθρώπῳ προτίθημι. Οὗτοι ἐόντες ἐνιαυτοὶ ἑβδομήκοντα παρέχονται ἡμέρας διηκοσίας καὶ πεντακισχιλίας καὶ δισμυρίας, ἐμβολίμου μηνὸς μὴ γινομένου· εἰ δὲ δὴ ἐθελήσει τοὔτερον τῶν ἐτέων μηνὶ μακρότερον γίνεσθαι, ἵνα δὴ αἱ ὧραι συμβαίνωσι παραγινόμεναι ἐς τὸ δέον, μῆνες μὲν παρὰ τὰ ἑβδομήκοντα ἔτεα οἱ ἐμβόλιμοι γίνονται τριήκοντα πέντε, ἡμέραι δὲ ἐκ τῶν μηνῶν τούτων χίλιαι πεντήκοντα. Τουτέων τῶν ἁπασέων ἡμερέων τῶν ἐς τὰ ἑβδομήκοντα ἔτεα, ἐουσέων πεντήκοντα καὶ διηκοσιέων καὶ ἑξακισχιλιέων καὶ δισμυριέων, ἡ ἑτέρη αὐτέων τῇ ἑτέρῃ ἡμέρῃ τὸ παράπαν οὐδὲν ὁμοῖον προσάγει πρῆγμα. Οὕτω ὦν, ὦ Κροῖσε, πᾶν ἐστι ἄνθρωπος συμφορή. Ἐμοὶ δὲ σὺ καὶ πλουτέειν μέγα φαίνεαι καὶ βασιλεὺς πολλῶν εἶναι ἀνθρώπων· ἐκεῖνο δὲ τὸ εἴρεό με οὔ κώ σε ἐγὼ λέγω, πρὶν τελευτήσαντα καλῶς τὸν αἰῶνα πύθωμαι. Οὐ γάρ τι ὁ μέγα πλούσιος μᾶλλον τοῦ ἐπ' ἡμέρην ἔχοντος ὀλβιώτερός ἐστι, εἰ μή οἱ τύχη ἐπίσποιτο πάντα καλὰ ἔχοντα εὖ τελευτῆσαι τὸν βίον. Πολλοὶ μὲν γὰρ ζάπλουτοι ἀνθρώπων ἀνόλβιοί εἰσι, πολλοὶ δὲ μετρίως ἔχοντες βίου εὐτυχέες. Ὁ μὲν δὴ μέγα πλούσιος, ἀνόλβιος δέ, δυοῖσι προέχει τοῦ εὐτυχέος μοῦνον, οὗτος δὲ τοῦ πλουσίου καὶ ἀνολβίου πολλοῖσι· ὁ μὲν ἐπιθυμίην ἐκτελέσαι καὶ ἄτην μεγάλην προσπεσοῦσαν ἐνεῖκαι δυνατώτερος, ὁ δὲ τοῖσδε προέχει ἐκείνου· ἄτην μὲν καὶ ἐπιθυμίην οὐκ ὁμοίως δυνατὸς ἐκείνῳ ἐνεῖκαι, ταῦτα δὲ ἡ εὐτυχίη οἱ ἀπερύκει, ἄπηρος δέ ἐστι, ἄνουσος, ἀπαθὴς κακῶν, εὔπαις, εὐειδής· εἰ δὲ πρὸς τούτοισι ἔτι τελευτήσει τὸν βίον εὖ, οὗτος ἐκεῖνος τὸν σὺ ζητέεις, ὁ ὄλβιος κεκλῆσθαι ἄξιός ἐστι· πρὶν δ' ἂν τελευτήσῃ, ἐπισχεῖν μηδὲ καλέειν κω ὄλβιον, ἀλλ' εὐτυχέα. Τὰ πάντα μέν νυν ταῦτα συλλαβεῖν ἄνθρωπον ἐόντα ἀδύνατόν ἐστι, ὥσπερ χώρη οὐδεμία καταρκέει πάντα ἑωυτῇ παρέχουσα, ἀλλὰ ἄλλο μὲν ἔχει, ἑτέρου δὲ ἐπιδέεται· ἣ δὲ ἂν τὰ πλεῖστα ἔχῃ, αὕτη ἀρίστη. Ὣς δὲ καὶ ἀνθρώπου σῶμα ἓν οὐδὲν αὔταρκές ἐστι· τὸ μὲν γὰρ ἔχει, ἄλλου δὲ ἐνδεές ἐστι· ὃς δ' ἂν αὐτῶν πλεῖστα ἔχων διατελέῃ καὶ ἔπειτα τελευτήσῃ εὐχαρίστως τὸν βίον, οὗτος παρ' ἐμοὶ τὸ οὔνομα τοῦτο, ὦ βασιλεῦ, δίκαιός ἐστι φέρεσθαι. Σκοπέειν δὲ χρὴ παντὸς χρήματος τὴν τελευτὴν κῇ ἀποβήσεται· πολλοῖσι γὰρ δὴ ὑποδέξας ὄλβον ὁ θεὸς προρρίζους ἀνέτρεψε. »

HERODOTE, *Histoires*, I, 32

« Crésus, je sais que la divinité est toute jalousie et qu'elle aime à semer le trouble, et tu m'interroges sur des affaires humaines. Dans la longue durée d'une vie, on a l'occasion de voir beaucoup de choses que l'on ne voudrait pas, et de pâtir aussi de beaucoup. Je fixe à soixante-dix ans la limite de la vie d'un homme. Ces soixante-dix périodes d'une année donnent vingt-cinq mille deux cents jours, sans mois intercalaire ; si une sur deux doit être allongée d'un mois, pour que le cycle des saisons coïncide avec l'année et qu'elles arrivent au juste moment, les mois intercalaires, au cours de soixante-dix années, sont au nombre de trente-cinq ; et les jours que donnent ces mois, au nombre de mille cinquante. Or, de toutes les journées qui forment les soixante-dix ans, — il y en a vingt-six mille deux cent cinquante, — l'une n'amène rien du tout de pareil à ce qu'amène l'autre. Dans ces conditions, Crésus, l'homme n'est que vicissitude. Tu m'apparais comme le possesseur de beaucoup de richesses, le roi de beaucoup de sujets ; mais ce que tu m'as demandé, je ne peux dire encore que tu le sois, avant d'avoir appris que tu aies terminé tes jours dans la prospérité. L'homme très riche, en effet, n'est nullement plus heureux que celui qui vit au jour le jour, si la fortune ne l'accompagne et ne lui donne de bien finir sa vie au milieu d'une prospérité complète. Bien des hommes puissamment riches sont sans bonheur, tandis que beaucoup d'autres, disposant de médiocres ressources, ont à se louer de la fortune. L'homme très riche sans bonheur n'a que deux avantages sur l'homme à qui la fortune est favorable, tandis que celui-ci en a beaucoup sur le riche sans bonheur. L'un a plus de moyens pour satisfaire ses désirs et pour supporter le choc d'une grande calamité. Mais l'autre a sur lui ces avantages : s'il n'est pas capable à un pareil degré de supporter calamité et désir, sa bonne fortune les écarte de lui ; il est sans infirmités, sans maladies, à l'abri des maux, il a de beaux enfants, il est beau ; si, de plus, il a encore une belle fin de vie, le voilà celui que tu cherches, celui qui mérite d'être appelé heureux ; mais, avant qu'il soit mort, attendons, ne disons pas encore qu'il soit heureux, disons que la fortune lui sourit. Il n'est pas possible, quand on est homme, de réunir tous les avantages dont j'ai parlé, pas plus qu'aucun pays ne suffit à se fournir de tout ; s'il possède telle chose, il manque de telle autre ; et le pays qui en possède le plus, celui-là est le meilleur du monde. Pareillement, aucun individu humain, isolé, ne peut se suffire ; s'il possède un bien, un autre lui fait défaut ; et l'homme qui passe sa vie en possession de beaucoup de biens et ensuite la termine doucement, celui-là, à mon sens, a le droit d'obtenir, ô roi, le titre d'heureux. Mais il faut considérer en toutes choses la fin, et comment elles tourneront ; car il y a eu déjà beaucoup de gens à qui la destinée a laissé voir le bonheur et qu'elle a renversés de fond en comble. »

Traduction de Philippe-Ernest LEGRAND (Les Belles Lettres, Paris, 1932)

TRADUCTION D'UN TEXTE GREC

Les bénéfices de la rhétorique

Le Raisonnement Juste et le Raisonnement Injuste se disputent la préférence d'un jeune homme : le premier veut lui inculquer la vertu, le second (qui s'exprime ici) prétend lui apprendre à bien parler pour se livrer impunément à tous les excès.

Σκέψαι γάρ, ὦ μειράκιον, ἐν τῷ σωφρονεῖν ἅπαντα
ἄνεστιν, ἡδονῶν θ' ὅσων μέλλεις ἀποστερεῖσθαι,
παίδων, γυναικῶν, κοττάβων, ὄψων, πότων, κιχλισμῶν.
Καίτοι τί σοι ζῆν ἄξιον, τούτων ἐὰν στερηθῇς ;
Εἶεν. Πάρειμ' ἐντεῦθεν εἰς τὰς τῆς φύσεως ἀνάγκας.
Ἥμαρτες, ἠράσθης, ἐμοίχευσάς τι, κᾆτ' ἐλήφθης·
ἀπόλωλας· ἀδύνατος γὰρ εἶ λέγειν. Ἐμοὶ δ' ὁμιλῶν
χρῶ τῇ φύσει, σκίρτα, γέλα, νόμιζε μηδὲν αἰσχρόν.
Μοιχὸς γὰρ ἢν τύχῃς ἁλούς, τάδ' ἀντερεῖς πρὸς αὐτόν,
ὡς οὐδὲν ἠδίκηκας· εἶτ' εἰς τὸν Δί' ἐπανενεγκεῖν,
κἀκεῖνος ὡς ἥττων ἔρωτός ἐστι καὶ γυναικῶν·
καίτοι σὺ θνητὸς ὢν θεοῦ πῶς μεῖζον ἂν δύναιο ;

ARISTOPHANE, *Nuées*, 1071-1082

IMPRIMERIE NATIONALE – D'après documents fournis

VERSION GRECQUE

Les dragons des Parthes

Tâchant de définir les préceptes qui devraient régir l'historiographie, Lucien passe en revue les défauts des mauvais historiens. L'un d'entre eux livre notamment un récit de bataille plus que douteux...

Ἄλλος, ὦ Φίλων, μάλα καὶ οὗτος γελοῖος, οὐδὲ τὸν ἕτερον πόδα ἐκ Κορίνθου πώποτε προβεβηκὼς οὐδ᾽ ἄχρι Κεγχρεῶν ἀποδημήσας, οὔτι γε Συρίαν ἢ Ἀρμενίαν ἰδών, ὧδε ἤρξατο – μέμνημαι γάρ· « Ὦτα ὀφθαλμῶν ἀπιστότερα. Γράφω τοίνυν ἃ εἶδον, οὐχ ἃ ἤκουσα. » Καὶ οὕτως ἀκριβῶς ἅπαντα ἑωράκει ὥστε τοὺς δράκοντας ἔφη τῶν Παρθυαίων (σημεῖον δὲ πλήθους τοῦτο αὐτοῖς· χιλίους γὰρ οἶμαι ὁ δράκων ἄγει) ζῶντας δράκοντας παμμεγέθεις εἶναι γεννωμένους ἐν τῇ Περσίδι μικρὸν ὑπὲρ τὴν Ἰβηρίαν, τούτους δὲ τέως μὲν ἐπὶ κοντῶν μεγάλων ἐκδεδεμένους ὑψηλοὺς αἰωρεῖσθαι καὶ πόρρωθεν ἐπελαυνόντων δέος ἐμποιεῖν, ἐν αὐτῷ δὲ τῷ ἔργῳ ἐπειδὰν ὁμοῦ ὦσι λύσαντες αὐτοὺς ἐπαφιᾶσι τοῖς πολεμίοις· ἀμέλει πολλοὺς τῶν ἡμετέρων οὕτω καταποθῆναι καὶ ἄλλους περισπειραθέντων αὐτοῖς ἀποπνιγῆναι καὶ συγκλασθῆναι· ταῦτα δὲ ἐφεστὼς ὁρᾶν αὐτός, ἐν ἀσφαλεῖ μέντοι ἀπὸ δένδρου ὑψηλοῦ ποιούμενος τὴν σκοπήν. Καὶ εὖ γε ἐποίησε μὴ ὁμόσε χωρήσας τοῖς θηρίοις, ἐπεὶ οὐκ ἂν ἡμεῖς οὕτω θαυμαστὸν συγγραφέα νῦν εἴχομεν καὶ ἀπὸ χειρὸς αὐτὸν μεγάλα καὶ λαμπρὰ ἐν τῷ πολέμῳ τούτῳ ἐργασάμενον· καὶ γὰρ ἐκινδύνευσε πολλὰ καὶ ἐτρώθη περὶ Σοῦραν, ἀπὸ τοῦ Κρανείου δῆλον ὅτι βαδίζων ἐπὶ τὴν Λέρναν.

LUCIEN

VERSION GRECQUE

Durée : 4 heures

Épouses indignes

Pour Électre, Hélène et Clytemnestre sont responsables des malheurs de sa maison. Elle en fait le reproche à sa mère.

Ἡ μὲν γὰρ ἁρπασθεῖσ' ἑκοῦσ' ἀπώλετο,
σὺ δ' ἄνδρ' ἄριστον Ἑλλάδος διώλεσας,
σκῆψιν προτείνουσ' ὡς ὑπὲρ τέκνου[1] πόσιν
ἔκτεινας · οὐ γάρ σ' ὡς ἔγωγ' ἴσασιν εὖ.
Ἥτις, θυγατρὸς πρὶν κεκυρῶσθαι σφαγάς,
νέον τ' ἀπ' οἴκων ἀνδρὸς ἐξωρμημένου,
ξανθὸν κατόπτρῳ πλόκαμον ἐξήσκεις κόμης.
Γυνὴ δ' ἀπόντος ἀνδρὸς ἥτις ἐκ δόμων
ἐς κάλλος ἀσκεῖ, διάγραφ' ὡς οὖσαν κακήν.
Οὐδὲν γὰρ αὐτὴν δεῖ θύρασιν εὐπρεπὲς
φαίνειν πρόσωπον, ἤν τι μὴ ζητῇ κακόν.
Μόνην δὲ πασῶν οἶδ' ἐγὼ σ' Ἑλληνίδων,
εἰ μὲν τὰ Τρώων εὐτυχοῖ, κεχαρμένην,
εἰ δ' ἥσσον' εἴη, συννέφουσαν ὄμματα,
Ἀγαμέμνον' οὐ χρῄζουσαν ἐκ Τροίας μολεῖν.
Καίτοι καλῶς γε σωφρονεῖν παρεῖχέ σοι ·
ἄνδρ' εἶχες οὐ κακίον' Αἰγίσθου πόσιν,
ὃν Ἑλλὰς αὑτῆς εἵλετο στρατηλάτην ·
Ἑλένης δ' ἀδελφῆς τοιάδ' ἐξειργασμένης
ἐξῆν κλέος σοι μέγα λαβεῖν · τὰ γὰρ κακὰ
παράδειγμα τοῖς ἐσθλοῖσιν εἴσοψίν τ' ἔχει.

EURIPIDE

[1] Iphigénie.

COMMENTAIRE D'UN TEXTE GREC

Mort aux vaincus

Pendant la guerre du Péloponnèse, après la tentative de défection de Mytilène, les Athéniens ont décidé de châtier très sévèrement ses habitants. Mais, pris de doutes sur le bien-fondé de leur décision, ils convoquent une nouvelle assemblée. Cléon intervient alors de nouveau, comme il l'a fait la première fois, pour prôner la plus grande fermeté.

Ἐγὼ γάρ, οἵτινες μὲν μὴ δυνατοὶ φέρειν τὴν ὑμετέραν ἀρχὴν ἢ οἵτινες ὑπὸ τῶν πολεμίων ἀναγκασθέντες ἀπέστησαν, ξυγγνώμην ἔχω· νῆσον δὲ οἵτινες ἔχοντες μετὰ τειχῶν καὶ κατὰ θάλασσαν μόνον φοβούμενοι τοὺς ἡμετέρους πολεμίους, ἐν ᾧ καὶ αὐτοὶ τριήρων παρασκευῇ οὐκ ἄφαρκτοι ἦσαν πρὸς αὐτούς, αὐτόνομοί τε οἰκοῦντες καὶ τιμώμενοι ἐς τὰ πρῶτα ὑπὸ ἡμῶν τοιαῦτα εἰργάσαντο, τί ἄλλο οὗτοι ἢ ἐπεβούλευσάν τε καὶ ἐπανέστησαν μᾶλλον ἢ ἀπέστησαν (ἀπόστασις μέν γε τῶν βίαιόν τι πασχόντων ἐστίν), ἐζήτησάν τε μετὰ τῶν πολεμιωτάτων ἡμᾶς στάντες διαφθεῖραι ; Καίτοι δεινότερόν ἐστιν ἢ εἰ καθ' αὑτοὺς δύναμιν κτώμενοι ἀντεπολέμησαν. Παράδειγμα δὲ αὐτοῖς οὔτε αἱ τῶν πέλας ξυμφοραὶ ἐγένοντο, ὅσοι ἀποστάντες ἤδη ἡμῶν ἐχειρώθησαν, οὔτε ἡ παροῦσα εὐδαιμονία παρέσχεν ὄκνον μὴ ἐλθεῖν ἐς τὰ δεινά· γενόμενοι δὲ πρὸς τὸ μέλλον θρασεῖς καὶ ἐλπίσαντες μακρότερα μὲν τῆς δυνάμεως, ἐλάσσω δὲ τῆς βουλήσεως, πόλεμον ἤραντο, ἰσχὺν ἀξιώσαντες τοῦ δικαίου προθεῖναι· ἐν ᾧ γὰρ ᾠήθησαν περιέσεσθαι, ἐπέθεντο ἡμῖν οὐκ ἀδικούμενοι. Εἴωθε δὲ τῶν πόλεων αἷς ἂν μάλιστα καὶ δι' ἐλαχίστου ἀπροσδόκητος εὐπραγία ἔλθῃ, ἐς ὕβριν τρέπειν· τὰ δὲ πολλὰ κατὰ λόγον τοῖς ἀνθρώποις εὐτυχοῦντα ἀσφαλέστερα ἢ παρὰ δόξαν, καὶ κακοπραγίαν ὡς εἰπεῖν ῥᾷον ἀπωθοῦνται ἢ εὐδαιμονίαν διασῴζονται. Χρῆν δὲ Μυτιληναίους καὶ πάλαι μηδὲν διαφερόντως τῶν ἄλλων ὑφ' ἡμῶν τετιμῆσθαι, καὶ οὐκ ἂν ἐς τόδε ἐξύβρισαν· πέφυκε γὰρ καὶ ἄλλως ἄνθρωπος τὸ μὲν θεραπεῦον ὑπερφρονεῖν, τὸ δὲ μὴ ὑπεῖκον θαυμάζειν. Κολασθέντων δὲ καὶ νῦν ἀξίως τῆς ἀδικίας, καὶ μὴ τοῖς μὲν ὀλίγοις ἡ αἰτία προστεθῇ, τὸν δὲ δῆμον ἀπολύσητε. Πάντες γὰρ ὑμῖν γε ὁμοίως ἐπέθεντο, οἷς γ' ἐξῆν ὡς ἡμᾶς τραπομένοις νῦν πάλιν ἐν τῇ πόλει εἶναι· ἀλλὰ τὸν μετὰ τῶν ὀλίγων κίνδυνον ἡγησάμενοι βεβαιότερον ξυναπέστησαν. Τῶν τε ξυμμάχων σκέψασθε εἰ τοῖς τε ἀναγκασθεῖσιν ὑπὸ τῶν πολεμίων καὶ τοῖς ἑκοῦσιν ἀποστᾶσι τὰς αὐτὰς ζημίας προσθήσετε, τίνα οἴεσθε ὅντινα οὐ βραχείᾳ προφάσει ἀποστήσεσθαι, ὅταν ἢ κατορθώσαντι ἐλευθέρωσις ᾖ ἢ σφαλέντι μηδὲν παθεῖν ἀνήκεστον ; Ἡμῖν δὲ πρὸς ἑκάστην πόλιν ἀποκεκινδυνεύσεται τά τε χρήματα καὶ αἱ ψυχαί, καὶ τυχόντες μὲν πόλιν ἐφθαρμένην παραλαβόντες τῆς ἔπειτα προσόδου, δι' ἣν ἰσχύομεν, τὸ λοιπὸν στερήσεσθε, σφαλέντες δὲ πολεμίους πρὸς τοῖς ὑπάρχουσιν ἕξομεν, καὶ ὃν χρόνον τοῖς νῦν καθεστηκόσι δεῖ ἐχθροῖς ἀνθίστασθαι, τοῖς οἰκείοις ξυμμάχοις πολεμήσομεν.

Οὔκουν δεῖ προθεῖναι ἐλπίδα οὔτε λόγῳ πιστὴν οὔτε χρήμασιν ὠνητήν, ὡς ξυγγνώμην ἁμαρτεῖν ἀνθρωπίνως λήψονται. Ἄκοντες μὲν γὰρ οὐκ ἔβλαψαν, εἰδότες δὲ ἐπεβούλευσαν· ξύγγνωμον δ' ἐστὶ τὸ ἀκούσιον. Ἐγὼ μὲν οὖν καὶ τότε πρῶτον καὶ νῦν διαμάχομαι μὴ μεταγνῶναι ὑμᾶς τὰ προδεδογμένα, μηδὲ τρισὶ τοῖς ἀξυμφορωτάτοις τῇ ἀρχῇ, οἴκτῳ καὶ ἡδονῇ λόγων καὶ ἐπιεικείᾳ, ἁμαρτάνειν.

THUCYDIDE, *Histoires*, Livre III, chap. 39-40

Pour ma part, si des gens ont fait défection parce qu'incapables de supporter votre empire ou sous la contrainte de l'ennemi, je leur donne de l'indulgence ; mais les occupants d'une île, à l'abri de remparts, menacés par nos ennemis du côté de la mer seulement, dans un domaine encore où leur propre équipement en trières ne les laissait pas déjà sans protection, un peuple en outre autonome et comblé par nous des plus grands égards, s'il a commis un acte pareil, n'est-ce pas intrigue et insurrection plutôt que défection (la défection, elle, suppose qu'on subissait quelque violence), tentative, en outre, de se mettre avec nos pires ennemis pour nous anéantir ? Or cela est plus grave que s'ils nous avaient fait la guerre par eux-mêmes pour accroître leur puissance. Les malheurs d'autrui ne les ont pas instruits – tant de gens déjà dont la défection avait fini en soumission – pas plus que leur bonheur présent ne les a fait reculer devant le danger ; enhardis pour l'avenir et pleins d'un espoir qui dépassait leur puissance sans égaler leurs désirs, ils ont entrepris la guerre, prétendant mettre la force audessus du droit : quand ils ont cru qu'ils l'emporteraient, ils nous ont attaqués, sans que leurs droits fussent lésés. Or à l'ordinaire, les cités où survient la réussite la plus inattendue et la plus soudaine inclinent à l'orgueil : en général, le calcul plus que l'imprévu donne de la solidité aux succès et, pour tout dire, on écarte le malheur plus facilement qu'on ne préserve le bonheur. Il aurait fallu, et depuis longtemps, n'accorder aux Mytiléniens aucun égard privilégié : ils n'en seraient pas venus à ce degré d'orgueil ; car, dans tous les cas, la nature humaine méprise la flatterie et révère la fermeté. Infligez-leur, il en est temps encore, le châtiment que mérite leur crime, et n'allez pas rejeter la responsabilité sur l'aristocratie en absolvant le peuple. Car pour vous attaquer, ils ont tous agi de même, alors qu'ils pouvaient se tourner vers nous et se retrouver aujourd'hui dans leur cité. Non ! jugeant plus sûr un risque couru avec les aristocrates, ils ont contribué à la défection. Songez en outre à vos alliés : si les cas de contrainte imposée par l'ennemi et les défections volontaires sont frappés de la même peine, qui ne saisira, dites-moi, le moindre prétexte de défection, du moment que la sanction du succès sera la libération et celle de l'échec un malheur nullement irréparable ? Nous, cependant, nous aurons dû risquer contre chaque cité notre argent et nos vies ; en cas de réussite, vous récupérerez une ville anéantie, pour être désormais privés du revenu futur, qui fait notre force ; en cas d'échec, nous aurons accru le nombre de nos ennemis, et le temps qu'il faudrait consacrer à la lutte contre nos adversaires actuels se passera en guerres contre nos propres alliés.

Nous ne devons donc pas leur offrir l'espoir, confiant dans l'éloquence ou escompté à prix d'argent, que leur erreur, bien humaine, obtiendra de l'indulgence. Si sans le vouloir ils n'ont pas causé de dommage, leurs intrigues ont été conscientes ; or l'indulgence s'attache à l'acte involontaire. Pour moi donc, aujourd'hui comme je le fis pour la première fois, je mène la bataille afin que vous ne reveniez pas sur des décisions prises et que vous évitiez l'erreur d'écouter les trois sentiments les plus nuisibles à l'empire – la compassion, le plaisir de l'éloquence, la clémence.

Traduction de Raymond WEIL,
avec la collaboration de Jacqueline DE ROMILLY,
(Les Belles Lettres, Paris, 1969)

Tournez la page S.V.P.

TRADUCTION D'UN TEXTE GREC

Splendeurs et misères de Troie

Après la chute de Troie, les Grecs, s'ils veulent rentrer chez eux, doivent sacrifier Polyxène, fille de Priam, à l'ombre d'Achille. Au lieu de plaider sa cause, la captive, à qui sa nouvelle vie d'esclave fait horreur, accepte de suivre Ulysse, venu la chercher.

Θάρσει · πέφευγας τὸν ἐμὸν Ἱκέσιον Δία ·
ὡς ἕψομαί γε τοῦ τ' ἀναγκαίου χάριν
θανεῖν τε χρῄζουσ' · εἰ δὲ μὴ βουλήσομαι,
κακὴ φανοῦμαι καὶ φιλόψυχος γυνή.
Τί γάρ με δεῖ ζῆν ; Ἧι πατὴρ μὲν ἦν ἄναξ
Φρυγῶν ἁπάντων · τοῦτό μοι πρῶτον βίου.
Ἔπειτ' ἐθρέφθην ἐλπίδων καλῶν ὕπο
βασιλεῦσι νύμφη, ζῆλον οὐ σμικρὸν γάμων
ἔχουσ', ὅτου δῶμ' ἑστίαν τ' ἀφίξομαι.
Δέσποινα δ' ἡ δύστηνος Ἰδαίαισιν ἦ,
γυναιξὶ παρθένοις τ' ἀπόβλεπτος μέτα,
ἴση θεοῖσι πλὴν τὸ κατθανεῖν μόνον.
Νῦν δ' εἰμὶ δούλη.

EURIPIDE, *Hécube*, v. 345-357

IMPRIMERIE NATIONALE – D'après documents fournis

VERSION GRECQUE

Durée : 4 heures

Prodige

Un messager décrit à Clytemnestre le prodige qui s'est produit au moment où les Grecs allaient sacrifier sa fille Iphigénie pour favoriser leur départ vers Ilion.

Ἐς γῆν δ' Ἀτρεῖδαι πᾶς στρατός τ' ἔστη βλέπων.
Ἱερεὺς δὲ φάσγανον λαβὼν ἐπεύξατο
λαιμόν τ' ἐπεσκοπεῖθ', ἵνα πλήξειεν ἄν.
Ἐμοὶ δέ τ' ἄλγος οὐ μικρὸν εἰσῄει φρενὶ
κἄστην νενευκώς· θαῦμα δ' ἦν αἴφνης ὁρᾶν.
Πληγῆς κτύπον γὰρ πᾶς τις ᾔσθετ' ἂν σαφῶς,
τὴν παρθένον δ' οὐκ εἶδεν οὗ γῆς εἰσέδυ.
Βοᾷ δ' ἱερεύς, ἅπας δ' ἐπήχησε στρατός,
ἄελπτον εἰσιδόντες ἐκ θεῶν τινος
φάσμ', οὗ γε μηδ' ὁρωμένου πίστις παρῆν·
ἔλαφος γὰρ ἀσπαίρουσ' ἔκειτ' ἐπὶ χθονὶ
ἰδεῖν μεγίστη διαπρεπής τε τὴν θέαν,
ἧς αἵματι βωμὸς ἐραίνετ' ἄρδην τῆς θεοῦ.
Κἀν τῷδε Κάλχας – πῶς δοκεῖς ; – χαίρων ἔφη·
« Ὦ τοῦδ' Ἀχαιῶν κοίρανοι κοινοῦ στρατοῦ,
ὁρᾶτε τήνδε θυσίαν, ἣν ἡ θεὸς
προύθηκε βωμίαν, ἔλαφον ὀρειδρόμον ;
Ταύτην μάλιστα τῆς κόρης ἀσπάζεται,
ὡς μὴ μιαίνῃ βωμὸν εὐγενεῖ φόνῳ.
Ἡδέως τε τοῦτ' ἐδέξατο καὶ πλοῦν οὔριον
δίδωσιν ἡμῖν Ἰλίου τ' ἐπιδρομάς. »

EURIPIDE

VERSION GRECQUE

Durée : 4 heures

Maîtres d'armes : experts ou escrocs ?

Lachès, illustre général, doute que l'enseignement dispensé par les maîtres d'armes soit d'une quelconque utilité. En effet, ceux qui excellent vraiment à la guerre n'en ont cure.

Καὶ δὴ καὶ τὸ ὁπλιτικὸν τοῦτο, εἰ μέν ἐστιν μάθημα, ὅπερ φασὶν οἱ διδάσκοντες, καὶ οἷον Νικίας λέγει, χρὴ αὐτὸ μανθάνειν· εἰ δ' ἔστιν μὲν μὴ μάθημα, ἀλλ' ἐξαπατῶσιν οἱ ὑπισχνούμενοι, ἢ μάθημα μὲν τυγχάνει ὄν, μὴ μέντοι πάνυ σπουδαῖον, τί καὶ δέοι ἂν αὐτὸ μανθάνειν; Λέγω δὲ ταῦτα περὶ αὐτοῦ εἰς τάδε ἀποβλέψας, ὅτι οἶμαι ἐγὼ τοῦτο, εἰ τὶ ἦν, οὐκ ἂν λεληθέναι Λακεδαιμονίους, οἷς οὐδὲν ἄλλο μέλει ἐν τῷ βίῳ ἢ τοῦτο ζητεῖν καὶ ἐπιτηδεύειν, ὅ τι ἂν μαθόντες καὶ ἐπιτηδεύσαντες πλεονεκτοῖεν τῶν ἄλλων περὶ τὸν πόλεμον. Εἰ δ' ἐκείνους λέληθεν, ἀλλ' οὐ τούτους γε τοὺς διδασκάλους αὐτοῦ λέληθεν αὐτὸ τοῦτο, ὅτι ἐκεῖνοι μάλιστα τῶν Ἑλλήνων σπουδάζουσιν ἐπὶ τοῖς τοιούτοις καὶ ὅτι παρ' ἐκείνοις ἄν τις τιμηθεὶς εἰς ταῦτα καὶ παρὰ τῶν ἄλλων πλεῖστ' ἂν ἐργάζοιτο χρήματα, ὥσπερ γε καὶ τραγῳδίας ποιητὴς παρ' ἡμῖν τιμηθείς. Τοιγάρτοι ὃς ἂν οἴηται τραγῳδίαν καλῶς ποιεῖν, οὐκ ἔξωθεν κύκλῳ περὶ τὴν Ἀττικὴν κατὰ τὰς ἄλλας πόλεις ἐπιδεικνύμενος περιέρχεται, ἀλλ' εὐθὺς δεῦρο φέρεται καὶ τοῖσδ' ἐπιδείκνυσιν εἰκότως· τοὺς δὲ ἐν ὅπλοις μαχομένους ἐγὼ τούτους ὁρῶ τὴν μὲν Λακεδαίμονα ἡγουμένους εἶναι ἄβατον ἱερὸν καὶ οὐδὲ ἄκρῳ ποδὶ ἐπιβαίνοντας, κύκλῳ δὲ περιιόντας αὐτὴν καὶ πᾶσι μᾶλλον ἐπιδεικνυμένους.

PLATON

TRADUCTION ET COMMENTAIRE D'UN TEXTE GREC

Vous traduirez les vers 713 à 722 et commenterez l'ensemble du texte.

ÉLOGE DES OISEAUX

Dans la parabase, le chœur, composé de volatiles, s'adresse au public pour évoquer l'origine de la gent ailée, démontrer sa supériorité et rappeler son utilité.

Ἄγε δή, φύσιν ἄνδρες ἀμαυρόβιοι, φύλλων γενεᾷ προσόμοιοι,
ὀλιγοδρανέες, πλάσματα πηλοῦ, σκιοειδέα φῦλ' ἀμενηνά,
ἀπτῆνες ἐφημέριοι, ταλαοὶ βροτοί, ἀνέρες εἰκελόνειροι,
προσέχετε τὸν νοῦν τοῖς ἀθανάτοις ἡμῖν, τοῖς αἰὲν ἐοῦσιν,
τοῖς αἰθερίοις, τοῖσιν ἀγήρῳς, τοῖς ἄφθιτα μηδομένοισιν,
ἵν' ἀκούσαντες πάντα παρ' ἡμῶν ὀρθῶς περὶ τῶν μετεώρων,
φύσιν οἰωνῶν γένεσίν τε θεῶν ποταμῶν τ' Ἐρέβους τε Χάους τε
εἰδότες ὀρθῶς, Προδίκῳ παρ' ἐμοῦ κλάειν εἴπητε τὸ λοιπόν.
Χάος ἦν καὶ Νὺξ Ἔρεβός τε μέλαν πρῶτον καὶ Τάρταρος εὐρύς,
γῆ δ' οὐδ' ἀὴρ οὐδ' οὐρανὸς ἦν· Ἐρέβους δ' ἐν ἀπείροσι κόλποις
τίκτει πρώτιστον ὑπηνέμιον Νὺξ ἡ μελανόπτερος ᾠόν,
ἐξ οὗ περιτελλομέναις ὥραις ἔβλαστεν Ἔρως ὁ ποθεινός,
στίλβων νῶτον πτερύγοιν χρυσαῖν, εἰκὼς ἀνεμώκεσι δίναις.
Οὗτος δὲ Χάει πτερόεντι μιγεὶς νύχιος κατὰ Τάρταρον εὐρὺν
ἐνεόττευσεν γένος ἡμέτερον, καὶ πρῶτον ἀνήγαγεν εἰς φῶς.
Πρότερον δ' οὐκ ἦν γένος ἀθανάτων, πρὶν Ἔρως ξυνέμειξεν ἅπαντα·
ξυμμειγνυμένων δ' ἑτέρων ἑτέροις γένετ' Οὐρανὸς Ὠκεανός τε
καὶ Γῆ πάντων τε θεῶν μακάρων γένος ἄφθιτον. Ὧδε μέν ἐσμεν
πολὺ πρεσβύτατοι πάντων μακάρων ἡμεῖς. Ὡς δ' ἐσμὲν Ἔρωτος
πολλοῖς δῆλον· πετόμεσθά τε γὰρ καὶ τοῖσιν ἐρῶσι σύνεσμεν·
πολλοὺς δὲ καλοὺς ἀπομωμοκότας παῖδας πρὸς τέρμασιν ὥρας
διὰ τὴν ἰσχὺν τὴν ἡμετέραν διεμήρισαν ἄνδρες ἐρασταί,
ὁ μὲν ὄρτυγα δούς, ὁ δὲ πορφυρίων', ὁ δὲ χῆν', ὁ δὲ Περσικὸν ὄρνιν.
Πάντα δὲ θνητοῖς ἐστιν ἀφ' ἡμῶν τῶν ὀρνίθων τὰ μέγιστα.
Πρῶτα μὲν ὥρας φαίνομεν ἡμεῖς ἦρος, χειμῶνος, ὀπώρας·
σπείρειν μέν, ὅταν γέρανος κρώζουσ' εἰς τὴν Λιβύην μεταχωρῇ·
καὶ πηδάλιον τότε ναυκλήρῳ φράζει κρεμάσαντι καθεύδειν,
εἶτα δ' Ὀρέστῃ χλαῖναν ὑφαίνειν, ἵνα μὴ ῥιγῶν ἀποδύῃ.

Ἰκτῖνος δ' αὖ μετὰ ταῦτα φανεὶς ἑτέραν ὥραν ἀποφαίνει,
ἡνίκα πεκτεῖν ὥρα προβάτων πόκον ἠρινόν· εἶτα χελιδών,
ὅτε χρὴ χλαῖναν πωλεῖν ἤδη καὶ ληδάριόν τι πρίασθαι.
Ἐσμὲν δ' ὑμῖν Ἄμμων, Δελφοί, Δωδώνη, Φοῖβος Ἀπόλλων.
Ἐλθόντες γὰρ πρῶτον ἐπ' ὄρνις οὕτω πρὸς ἅπαντα τρέπεσθε,
πρός τ' ἐμπορίαν, καὶ πρὸς βιότου κτῆσιν, καὶ πρὸς γάμον ἀνδρός.
Ὄρνιν τε νομίζετε πάνθ' ὅσαπερ περὶ μαντείας διακρίνει·
φήμη γ' ὑμῖν ὄρνις ἐστί, πταρμόν τ' ὄρνιθα καλεῖτε,
ξύμβολον ὄρνιν, φωνὴν ὄρνιν, θεράποντ' ὄρνιν, ὄνον ὄρνιν.
Ἆρ' οὐ φανερῶς ἡμεῖς ὑμῖν ἐσμεν μαντεῖος Ἀπόλλων ;

Ἢν οὖν ἡμᾶς νομίσητε θεούς,
ἕξετε χρῆσθαι μάντεσι Μούσαις
αὔραις, ὥραις, χειμῶνι, θέρει
μετρίῳ, πνίγει· κοὐκ ἀποδράντες
καθεδούμεθ' ἄνω σεμνυνόμενοι
παρὰ ταῖς νεφέλαις ὥσπερ χὠ Ζεύς·
ἀλλὰ παρόντες δώσομεν ὑμῖν
αὐτοῖς, παισίν, παίδων παισίν,
πλουθυγίειαν, βίον, εἰρήνην,
νεότητα, γέλωτα, χορούς, θαλίας,
γάλα τ' ὀρνίθων.

Allons, hommes, qui par nature vivez obscurs, semblables au genre des feuilles, impuissantes créatures pétries de limon, tribus inconsistantes pareilles à des ombres, êtres dépourvus d'ailes, éphémères, infortunés mortels, hommes semblables à des songes, prêtez votre attention à nous les immortels, toujours existants, évoluant dans les airs, exempts de vieillesse, occupés de pensers éternels, afin qu'après avoir entendu de nous toute la vérité sur les choses célestes, connaissant véritablement la nature des oiseaux, la genèse des dieux et des fleuves et de l'Erèbe et du Vide, vous puissiez, de ma part, envoyer promener Prodicos désormais.

Au commencement était le Vide et la Nuit et le noir Erèbe et le vaste Tartare, mais ni la terre, ni l'air, ni le ciel n'existaient. Dans le sein infini de l'Erèbe tout d'abord la Nuit aux ailes noires produit un œuf sans germe, d'où, dans le cours des saisons, naquit Éros le désiré au dos étincelant d'ailes d'or, Éros semblable aux rapides tourbillons du Vent. C'est lui, qui, s'étant uni la nuit au Vide ailé dans le vaste Tartare, fit éclore notre race et la fit paraître la première au jour. Jusqu'alors n'existait point la race des immortels, avant qu'Éros eût uni tous les éléments : à mesure qu'ils se mêlaient les uns aux autres, naquit le Ciel et l'Océan et la Terre et la race impérissable de tous les dieux bienheureux. Ainsi c'est nous qui sommes de beaucoup les plus anciens de tous les bienheureux. Et que nous descendons d'Éros, de nombreuses preuves l'attestent : nous avons des ailes et nous vivons avec les amoureux ; et de nombreux beaux garçons qui avaient abjuré l'amour ont été, au terme de leur jeune âge, grâce à notre puissance, possédés par des amants, pour avoir reçu qui une caille, qui un porphyrion, qui une oie, qui un oiseau de Perse.

Nous rendons toute sorte de services aux mortels, nous les oiseaux, et les plus grands. D'abord c'est nous qui leur signalons les saisons, printemps, hiver, fin de l'été ; nous leur indiquons le moment de semer, lorsque la grue en criant émigre vers la Libye – alors aussi elle avertit le nautonnier de suspendre son gouvernail et de dormir –, puis de tisser pour Oreste[1] un manteau de laine pour qu'il n'aille pas, ayant froid, détrousser les gens.

[…]

Si donc vous nous estimez dieux, vous aurez en nous des Muses prophétiques annonçant brises, saisons – hiver, été clément, chaleur étouffante. Et nous ne fuirons pas pour siéger là-haut majestueux dans les nuées, comme fait Zeus ; mais, présents, nous vous donnerons à vous, à vos enfants, aux enfants de vos enfants, richesse et santé, vie, paix, jeunesse, rires, danses, fêtes et lait d'oiseau.

ARISTOPHANE, *Les Oiseaux*, vers 685-733
Traduction de Hilaire van Daele (Paris, Les Belles Lettres, 1928) modifiée.

[1] Bandit de grand chemin.

VERSION GRECQUE

L'homme juste ne peut exercer le pouvoir

Lors de son procès, Socrate explique pourquoi il s'est occupé aussi peu que possible des affaires publiques de la cité.

Ἴσως ἂν οὖν δόξειεν ἄτοπον εἶναι ὅτι δὴ ἐγὼ ἰδίᾳ μὲν ταῦτα[1] συμβουλεύω περιιὼν καὶ πολυπραγμονῶ, δημοσίᾳ δὲ οὐ τολμῶ ἀναβαίνων εἰς τὸ πλῆθος τὸ ὑμέτερον συμβουλεύειν τῇ πόλει. Τούτου δὲ αἴτιόν ἐστιν ὃ ὑμεῖς ἐμοῦ πολλάκις ἀκηκόατε πολλαχοῦ λέγοντος, ὅτι μοι θεῖόν τι καὶ δαιμόνιον γίγνεται, ὃ δὴ καὶ ἐν τῇ γραφῇ ἐπικωμῳδῶν Μέλητος ἐγράψατο. Ἐμοὶ δὲ τοῦτ' ἔστιν ἐκ παιδὸς ἀρξάμενον, φωνή τις γιγνομένη, ἥ, ὅταν γένηται, ἀεὶ ἀποτρέπει με τούτου ὃ ἂν μέλλω πράττειν, προτρέπει δὲ οὔποτε. Τοῦτ' ἔστιν ὅ μοι ἐναντιοῦται τὰ πολιτικὰ πράττειν. Καὶ παγκάλως γέ μοι δοκεῖ ἐναντιοῦσθαι· εὖ γὰρ ἴστε, ὦ ἄνδρες Ἀθηναῖοι· εἰ ἐγὼ πάλαι ἐπεχείρησα πράττειν τὰ πολιτικὰ πράγματα, πάλαι ἂν ἀπολώλη καὶ οὔτ' ἂν ὑμᾶς ὠφελήκη οὐδὲν οὔτ' ἂν ἐμαυτόν. Καί μοι μὴ ἄχθεσθε λέγοντι τἀληθῆ· οὐ γὰρ ἔστιν ὅστις ἀνθρώπων σωθήσεται οὔτε ὑμῖν οὔτε ἄλλῳ πλήθει οὐδενὶ γνησίως ἐναντιούμενος καὶ διακωλύων πολλὰ ἄδικα καὶ παράνομα ἐν τῇ πόλει γίγνεσθαι, ἀλλ' ἀναγκαῖόν ἐστι τὸν τῷ ὄντι μαχούμενον ὑπὲρ τοῦ δικαίου, καὶ εἰ μέλλει ὀλίγον χρόνον σωθήσεσθαι, ἰδιωτεύειν, ἀλλὰ μὴ δημοσιεύειν.

Platon

[1] Socrate fait référence aux conseils qu'il donne sans cesse aux Athéniens qu'il rencontre.

VERSION GRECQUE

Durée : 4 heures

Un homme politique ou un médecin peut-il se vanter de son ignorance ?

Le jeune Euthydème, qui a des ambitions politiques, fréquente les mêmes lieux que Socrate mais garde ses distances. Le philosophe ironise en sa présence sur le refus du jeune homme de se laisser influencer.

« Ὅτι μέν, ἔφη, ὦ ἄνδρες, Εὐθύδημος οὑτοσὶ ἐν ἡλικίᾳ γενόμενος, τῆς πόλεως περί τινος λόγον προτιθείσης, οὐκ ἀφέξεται τοῦ συμβουλεύειν, εὔδηλόν ἐστιν ἐξ ὧν ἐπιτηδεύει· δοκεῖ δέ μοι καλὸν προοίμιον τῶν δημηγοριῶν παρασκευάζεσθαι φυλαττόμενος μὴ δόξῃ μανθάνειν τι παρά του. Δῆλον γὰρ ὅτι λέγειν ἀρχόμενος ὧδε προοιμιάσεται· " Παρ' οὐδενὸς μὲν πώποτε, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδὲν ἔμαθον, οὐδ' ἀκούων τινὰς εἶναι λέγειν τε καὶ πράττειν ἱκανοὺς ἐζήτησα τούτοις ἐντυχεῖν, οὐδ' ἐπεμελήθην τοῦ διδάσκαλόν τινά μοι γενέσθαι τῶν ἐπισταμένων, ἀλλὰ καὶ τἀναντία· διατετέλεκα γὰρ φεύγων οὐ μόνον τὸ μανθάνειν τι παρά τινος, ἀλλὰ καὶ τὸ δόξαι. Ὅμως δὲ ὅ τι ἂν ἀπὸ ταὐτομάτου ἐπίῃ μοι συμβουλεύσω ὑμῖν. " Ἁρμόσειε δ' ἂν οὕτω προοιμιάζεσθαι καὶ τοῖς βουλομένοις παρὰ τῆς πόλεως ἰατρικὸν ἔργον λαβεῖν· ἐπιτήδειόν γ' ἂν αὐτοῖς εἴη τοῦ λόγου ἄρχεσθαι ἐντεῦθεν· " Παρ' οὐδενὸς μὲν πώποτε, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν ἰατρικὴν τέχνην ἔμαθον, οὐδ' ἐζήτησα διδάσκαλον ἐμαυτῷ γενέσθαι τῶν ἰατρῶν οὐδένα· διατετέλεκα γὰρ φυλαττόμενος οὐ μόνον τὸ μαθεῖν τι παρὰ τῶν ἰατρῶν, ἀλλὰ καὶ τὸ δόξαι μεμαθηκέναι τὴν τέχνην ταύτην. Ὅμως δέ μοι τὸ ἰατρικὸν ἔργον δότε· πειράσομαι γὰρ ἐν ὑμῖν ἀποκινδυνεύων μανθάνειν." » Πάντες οὖν οἱ παρόντες ἐγέλασαν ἐπὶ τῷ προοιμίῳ.

XÉNOPHON

TRADUCTION ET COMMENTAIRE D'UN TEXTE GREC

Vous traduirez les lignes 15-23 et commenterez l'ensemble du texte.

Le pouvoir sourit aux audacieux

Philippe ne doit sa puissance qu'à la faiblesse et à l'insouciance coupables des Athéniens.

Εἰ τοίνυν ὁ Φίλιππος τότε ταύτην ἔσχε τὴν γνώμην, ὡς χαλεπὸν πολεμεῖν ἐστιν Ἀθηναίοις ἔχουσι τοσαῦτ' ἐπιτειχίσματα τῆς αὑτοῦ χώρας ἔρημον ὄντα συμμάχων, οὐδὲν ἂν ὧν νυνὶ πεποίηκεν ἔπραξεν οὐδὲ τοσαύτην ἐκτήσατ' ἂν δύναμιν. Ἀλλ' εἶδεν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο καλῶς ἐκεῖνος, ὅτι ταῦτα μέν ἐστιν ἅπαντα τὰ χωρί' ἆθλα τοῦ πολέμου κείμεν' ἐν μέσῳ, φύσει δ' ὑπάρχει τοῖς παροῦσι τὰ τῶν ἀπόντων, καὶ τοῖς ἐθέλουσι πονεῖν καὶ κινδυνεύειν τὰ τῶν ἀμελούντων. Καὶ γάρ τοι ταύτῃ χρησάμενος τῇ γνώμῃ πάντα κατέστραπται καὶ ἔχει, τὰ μὲν ὡς ἂν ἑλών τις ἔχοι πολέμῳ, τὰ δὲ σύμμαχα καὶ φίλα ποιησάμενος· καὶ γὰρ συμμαχεῖν καὶ προσέχειν τὸν νοῦν τούτοις ἐθέλουσιν ἅπαντες, οὓς ἂν ὁρῶσι παρεσκευασμένους καὶ πράττειν ἐθέλοντας ἃ χρή. Ἂν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ὑμεῖς ἐπὶ τῆς τοιαύτης ἐθελήσητε γενέσθαι γνώμης νῦν, ἐπειδήπερ οὐ πρότερον, καὶ ἕκαστος ὑμῶν, οὗ δεῖ καὶ δύναιτ' ἂν παρασχεῖν αὑτὸν χρήσιμον τῇ πόλει, πᾶσαν ἀφεὶς τὴν εἰρωνείαν ἕτοιμος πράττειν ὑπάρξῃ, ὁ μὲν χρήματ' ἔχων εἰσφέρειν, ὁ δ' ἐν ἡλικίᾳ στρατεύεσθαι, — συνελόντι δ' ἁπλῶς ἂν ὑμῶν αὐτῶν ἐθελήσητε γενέσθαι, καὶ παύσησθ' αὐτὸς μὲν οὐδὲν ἕκαστος ποιήσειν ἐλπίζων, τὸν δὲ πλησίον πάνθ' ὑπὲρ αὐτοῦ πράξειν, καὶ τὰ ὑμέτερ' αὐτῶν κομιεῖσθ', ἂν θεὸς θέλῃ, καὶ τὰ κατερρᾳθυμημένα πάλιν ἀναλήψεσθε, κἀκεῖνον τιμωρήσεσθε.

Μὴ γὰρ ὡς θεῷ νομίζετ' ἐκείνῳ τὰ παρόντα πεπηγέναι πράγματ' ἀθάνατα, ἀλλὰ καὶ μισεῖ τις ἐκεῖνον καὶ δέδιεν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ φθονεῖ, καὶ τῶν πάνυ νῦν δοκούντων οἰκείως ἔχειν· καὶ ἅπανθ' ὅσα περ καὶ ἐν ἄλλοις τισὶν ἀνθρώποις ἔνι, ταῦτα καὶ ἐν τοῖς μετ' ἐκείνου χρὴ νομίζειν ἐνεῖναι. Κατέπτηχε μέντοι πάντα ταῦτα νῦν, οὐκ ἔχοντ' ἀποστροφὴν διὰ τὴν ὑμετέραν βραδυτῆτα καὶ ῥᾳθυμίαν· ἣν ἀποθέσθαι φημὶ δεῖν ἤδη. Ὁρᾶτε γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ πρᾶγμα, οἷ προελήλυθεν ἀσελγείας ἄνθρωπος, ὃς οὐδ' αἵρεσιν ὑμῖν δίδωσι τοῦ πράττειν ἢ ἄγειν ἡσυχίαν, ἀλλ' ἀπειλεῖ καὶ λόγους ὑπερηφάνους, ὥς φασι, λέγει, καὶ οὐχ οἷός ἐστιν ἔχων ἃ κατέστραπται μένειν ἐπὶ τούτων, ἀλλ' ἀεί τι προσπεριβάλλεται καὶ κύκλῳ πανταχῇ μέλλοντας ἡμᾶς καὶ καθημένους περιστοιχίζεται.

Πότ' οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, πόθ' ἃ χρὴ πράξετε ; Ἐπειδὰν τί γένηται ; « Ἐπειδὰν νὴ Δί' ἀνάγκη τις ᾖ ». Νῦν δὲ τί χρὴ τὰ γιγνόμεν' ἡγεῖσθαι ; Ἐγὼ μὲν γὰρ οἴομαι τοῖς ἐλευθέροις μεγίστην ἀνάγκην τὴν ὑπὲρ τῶν πραγμάτων αἰσχύνην εἶναι. Ἢ βούλεσθ', εἰπέ μοι, περιιόντες αὑτῶν πυνθάνεσθαι, « Λέγεταί τι καινόν ; » Γένοιτο γὰρ ἄν τι καινότερον ἢ Μακεδὼν ἀνὴρ Ἀθηναίους καταπολεμῶν καὶ τὰ τῶν Ἑλλήνων διοικῶν ; « Τέθνηκε Φίλιππος ; — Οὐ μὰ Δί', ἀλλ' ἀσθενεῖ. » Τί δ' ὑμῖν διαφέρει ; Καὶ γὰρ ἂν οὗτός τι πάθῃ, ταχέως ὑμεῖς ἕτερον Φίλιππον ποιήσετε, ἄνπερ οὕτω προσέχητε τοῖς πράγμασι τὸν νοῦν· οὐδὲ γὰρ οὗτος παρὰ τὴν αὑτοῦ ῥώμην τοσοῦτον ἐπηύξηται ὅσον παρὰ τὴν ἡμετέραν ἀμέλειαν.

Si Philippe eût jugé alors qu'il était bien difficile de faire la guerre aux Athéniens, quand ils possédaient tant de forteresses sur son propre territoire et qu'il n'avait, lui, aucun allié, il n'aurait rien fait de ce qu'il a réalisé jusqu'ici, il n'aurait pas acquis une si grande puissance. Mais il y avait une chose qu'il savait bien, Athéniens : c'est que toutes ces places sont autant d'enjeux de guerre proposés à tous indistinctement, que, par une loi de la nature, les biens des absents sont à disposition des présents et les possessions des négligents à quiconque ne craint ni peine ni danger. Oui, ce fut là sa pensée, et voilà comment il a tout soumis, comment il tient tout, aussi bien ce qu'il tient comme on le ferait de prises de guerre que les peuples dont il s'est fait des alliés et des amis. Car on ne demande pas mieux que de s'allier, de s'attacher à ceux qu'on voit bien préparés, bien décidés à faire ce qu'il faut. Or, vous aussi, hommes d'Athènes, si vous voulez, maintenant enfin, adopter ces mêmes principes, puisque vous ne l'avez pas fait jusqu'à ce jour, si chacun de vous, là où il le doit et où il pourrait se rendre utile à la cité, se décidait à en finir avec les faux-fuyants, à se tenir prêt à l'action, le riche en contribuant de sa fortune, celui qui est en âge de servir en faisant campagne,— bref, si vous êtes résolus à ne compter que sur vous-mêmes, si chacun de vous cesse d'espérer qu'il n'aura pas à payer de sa personne et que son voisin fera tout en son lieu et place, alors, avec l'aide divine, vous reprendrez ce qui est à vous, vous recouvrerez ce que votre négligence a perdu et vous vous vengerez de cet homme.

[...]

Quand donc, hommes d'Athènes, quand ferez-vous ce qu'il faut ? Qu'attendez-vous ? « Par Zeus, que ce soit nécessaire ! » Mais vraiment, comment juger ce qui se passe ? J'estime, moi, que pour les hommes libres, la plus pressante des nécessités, c'est le danger d'une action déshonorante. Voulez-vous, dites-moi, aller de-ci, de-là, en vous demandant les uns aux autres : « Que dit-on de nouveau ? » Eh ! que pourrait-il y avoir de plus nouveau qu'un Macédonien défaisant les Athéniens à la guerre et réglant les affaires de la Grèce ? « Philippe est-il mort ? — Non, par Zeus, mais il est malade ! » Que vous importe ? Même s'il lui arrive un malheur, vous aurez tôt fait, vous, un autre Philippe, si vous traitez vos intérêts avec la même indifférence ! Car ce n'est pas sa force propre qui l'a fait si puissant, c'est bien plutôt notre insouciance.

DÉMOSTHÈNE, *Première Philippique*, § 5-11
Traduction de Maurice Croiset (Les Belles Lettres, Paris), modifiée.

VERSION GRECQUE

Un maître différent des autres

Le jeune Scipion Émilien redoute d'être indigne de sa prestigieuse lignée. Il exprime ses craintes à Polybe, l'hôte grec de sa famille à Rome. Celui-ci lui répond avec bienveillance.

« Δῆλος γὰρ εἶ διὰ τούτων[1] μέγα φρονῶν. Ἐγὼ δὲ κἂν αὐτὸς ἡδέως σοι συνεπιδοίην ἐμαυτὸν καὶ συνεργὸς γενοίμην εἰς τὸ καὶ λέγειν τι καὶ πράττειν ἄξιον τῶν προγόνων. Περὶ μὲν γὰρ τὰ μαθήματα, περὶ ἃ νῦν ὁρῶ σπουδάζοντας ὑμᾶς[2] καὶ φιλοτιμουμένους, οὐκ ἀπορήσετε τῶν συνεργησόντων ὑμῖν ἑτοίμως, καὶ σοὶ κἀκείνῳ · πολὺ γὰρ δή τι φῦλον ἀπὸ τῆς Ἑλλάδος ἐπιρρέον ὁρῶ κατὰ τὸ παρὸν τῶν τοιούτων ἀνθρώπων. Εἰς δὲ τὰ λυποῦντά σε νῦν καὶ μάλιστα, καθὼς φής, δοκῶ μηδένα συναγωνιστὴν καὶ συνεργὸν ἄλλον εὑρεῖν ἂν ἡμῶν ἐπιτηδειότερον. » Ἔτι δὲ ταῦτα λέγοντος τοῦ Πολυβίου, λαβόμενος ἀμφοτέραις χερσὶ τῆς δεξιᾶς αὐτοῦ καὶ πιέσας ἐμπαθῶς · « Εἰ γὰρ ἐγὼ ταύτην, » φησίν, « ἴδοιμι τὴν ἡμέραν, ἐν ᾗ σὺ πάντα τἄλλα δεύτερα θέμενος ἐμοὶ προσέξεις τὸν νοῦν καὶ μετ' ἐμοῦ συμβιώσεις · δόξω γὰρ αὐτόθεν εὐθέως ἐμαυτῷ καὶ τῆς οἰκίας ἄξιος εἶναι καὶ τῶν προγόνων. » Ὁ δὲ Πολύβιος τὰ μὲν ἔχαιρε, θεωρῶν τὴν ὁρμὴν καὶ τὴν ἀποδοχὴν τοῦ μειρακίου, τὰ δὲ διηπορεῖτο, λαμβάνων ἐν νῷ τὴν ὑπεροχὴν τῆς οἰκίας καὶ τὴν εὐκαιρίαν τῶν ἀνδρῶν. Πλὴν ἀπό γε ταύτης τῆς ἀνθομολογήσεως οὐκέτι τὸ μειράκιον ἐχωρίσθη τοῦ Πολυβίου.

POLYBE

[1] διὰ τούτων : reprend les craintes que vient d'exposer Scipion.
[2] ὑμᾶς : désigne Scipion et son frère.

VERSION GRECQUE

Durée : 4 heures

L'ADULTÈRE EST AFFAIRE DE JEUNES GENS

Contre les calomnies d'un adversaire qui l'accuse d'adultère, Lycophron, qui a passé la cinquantaine, demande au jury de prendre en compte l'ensemble de son existence et de le juger avec impartialité.

Τούτῳ[1] μὲν οὖν ἔξεστιν, ὦ ἄνδρες δικασταί, καὶ λέγειν ὅ τι ἂν βούληται καὶ καταψεύδεσθαι, ὑμᾶς δ' οἶμαι δεῖν οὐκ ἐκ τῶν τοῦ κατηγόρου διαβολῶν περὶ ἐμοῦ δικάζειν, ἀλλ' ἐξ ἅπαντος τοῦ βίου ὃν βεβίωκα ἐξετάσαντας· λαθεῖν γὰρ τὸ πλῆθος τὸ ὑμέτερον οὐκ ἔνι οὔτε πονηρὸν ὄντα οὐδένα τῶν ἐν τῇ πόλει οὔτε ἐπιεικῆ, ἀλλ' ὁ παρεληλυθὼς χρόνος μάρτυς ἐστὶν ἑκάστῳ τοῦ τρόπου ἀκριβέστατος, ἄλλως τε δὴ καὶ περὶ τούτων τῶν αἰτιῶν οἷα αὕτη ἐστίν. Ὅσα μὲν γὰρ τῶν ἀδικημάτων ἐν ἁπάσῃ τῇ ἡλικίᾳ τῇ τοῦ ἀνθρώπου ἐνδέχεται ἀδικῆσαι, ταῦτα μὲν δεῖ σκοπεῖν ἀπ' αὐτοῦ τοῦ ἐγκλήματος οὗ ἂν ἔχῃ τις· μοιχεύειν δ' οὐκ ἐνδέχεται ἀπὸ πεντήκοντα ἐτῶν ἀρξάμενον, ἀλλ' ἢ πάλαι τοιοῦτός ἐστιν, ὃ δειξάτωσαν οὗτοι, ἢ ψευδῆ τὴν αἰτίαν εἰκὸς εἶναι. Ἐγὼ τοίνυν, ὦ ἄνδρες δικασταί, μεθ' ὑμῶν διατρίβων ἐν τῇ πόλει τὸν ἅπαντα χρόνον οὔτε αἰτίαν πονηρὰν οὐδεμίαν πώποτ' ἔλαβον, οὔτ' ἔγκλημά μοι πρὸς οὐδένα τῶν πολιτῶν γέγονεν, οὐδὲ πέφευγα δίκην οὐδεμίαν, οὐδ' ἕτερον δεδίωχα.

HYPÉRIDE

[1] Le pronom désigne l'accusateur, adversaire de Lycophron.

TRADUCTION ET COMMENTAIRE D'UN TEXTE GREC

Vous traduirez les lignes 23-34 et commenterez l'ensemble du texte.

L'ÉDUCATION SPARTIATE

Lycurgue, le législateur légendaire de Sparte, a mis en place un système d'éducation propre à produire « des hommes plus soumis, plus respectueux, plus maîtres de leurs désirs ».

Τῶν μὲν τοίνυν ἄλλων Ἑλλήνων οἱ φάσκοντες κάλλιστα τοὺς υἱεῖς παιδεύειν, ἐπειδὰν τάχιστα αὐτοῖς οἱ παῖδες τὰ λεγόμενα ξυνιῶσιν, εὐθὺς μὲν ἐπ' αὐτοῖς παιδαγωγοὺς θεράποντας ἐφιστᾶσιν, εὐθὺς δὲ πέμπουσιν εἰς διδασκάλων μαθησομένους καὶ γράμματα καὶ μουσικὴν καὶ τὰ ἐν παλαίστρᾳ. Πρὸς δὲ τούτοις τῶν παίδων πόδας μὲν ὑποδήμασιν ἁπαλύνουσι, σώματα δὲ ἱματίων μεταβολαῖς διαθρύπτουσι· σίτου γε μὴν αὐτοῖς γαστέρα μέτρον νομίζουσιν. Ὁ δὲ Λυκοῦργος, ἀντὶ μὲν τοῦ ἰδίᾳ ἕκαστον παιδαγωγοὺς δούλους ἐφιστάναι, ἄνδρα ἐπέστησε κρατεῖν αὐτῶν ἐξ ὧνπερ αἱ μέγισται ἀρχαὶ καθίστανται, ὃς δὴ καὶ παιδονόμος καλεῖται, τοῦτον δὲ κύριον ἐποίησε καὶ ἀθροίζειν τοὺς παῖδας καὶ ἐπισκοποῦντα, εἴ τις ῥᾳδιουργοίη, ἰσχυρῶς κολάζειν. Ἔδωκε δ' αὐτῷ καὶ τῶν ἡβώντων μαστιγοφόρους, ὅπως τιμωροῖεν ὁπότε δέοι, ὥστε πολλὴν μὲν αἰδῶ, πολλὴν δὲ πειθὼ ἐκεῖ συμπαρεῖναι.

Ἀντί γε μὴν τοῦ ἁπαλύνειν τοὺς πόδας ὑποδήμασιν ἔταξεν ἀνυποδησίᾳ κρατύνειν, νομίζων, εἰ τοῦτ' ἀσκήσειαν, πολὺ μὲν ῥᾷον ἂν ὀρθιάδε ἐκβαίνειν, ἀσφαλέστερον δὲ πρανῆ καταβαίνειν, καὶ πηδῆσαι δὲ καὶ ἀναθορεῖν καὶ δραμεῖν θᾶττον. Καὶ ἀντί γε τοῦ ἱματίοις διαθρύπτεσθαι ἐνόμιζεν ἑνὶ ἱματίῳ δι' ἔτους προσεθίζεσθαι, νομίζων οὕτως καὶ πρὸς ψύχη καὶ πρὸς θάλπη ἄμεινον ἂν παρεσκευάσθαι.

Σῖτόν γε μὴν ἔταξε τοσοῦτον ἔχοντα συμβολεύειν τὸν εἴρενα ὡς ὑπὸ πλησμονῆς μὲν μήποτε βαρύνεσθαι, τοῦ δὲ ἐνδεεστέρως διάγειν μὴ ἀπείρως ἔχειν, νομίζων τοὺς οὕτω παιδευομένους μᾶλλον μὲν ἂν δύνασθαι, εἰ δεήσειεν, ἀσιτήσαντας ἐπιπονῆσαι, μᾶλλον δ' ἄν, εἰ παραγγελθείη, ἀπὸ τοῦ αὐτοῦ σίτου πλείω χρόνον ἐπιταθῆναι, ἧττον δ' ἂν ὄψου δεῖσθαι, εὐχερέστερον δὲ πρὸς πᾶν ἔχειν βρῶμα, καὶ ὑγιεινοτέρως δ' ἂν διάγειν· καὶ εἰς μῆκος ἂν τὴν αὐξάνεσθαι ῥαδινὰ τὰ σώματα ποιοῦσαν τροφὴν μᾶλλον συλλαμβάνειν ἡγήσατο ἢ τὴν διαπλατύνουσαν τῷ σίτῳ.

Ὡς δὲ μὴ ὑπὸ λιμοῦ ἄγαν αὖ πιέζοιντο, ἀπραγμόνως μὲν αὐτοῖς οὐκ ἔδωκε λαμβάνειν ὧν ἂν προσδέωνται, κλέπτειν δ' ἐφῆκεν ἔστιν ἃ τῷ λιμῷ ἐπικουροῦντας. Καὶ ὡς μὲν οὐκ ἀπορῶν ὅ τι δοίη ἐφῆκεν αὐτοῖς γε μηχανᾶσθαι τὴν τροφήν, οὐδένα οἶμαι τοῦτο ἀγνοεῖν· δῆλον δ' ὅτι τὸν μέλλοντα κλωπεύειν καὶ νυκτὸς ἀγρυπνεῖν δεῖ καὶ μεθ' ἡμέραν ἀπατᾶν καὶ ἐνεδρεύειν, καὶ κατασκόπους δὲ ἑτοιμάζειν τὸν μέλλοντά τι λήψεσθαι. Ταῦτα οὖν δὴ πάντα δῆλον ὅτι μηχανικωτέρους τῶν ἐπιτηδείων βουλόμενος τοὺς παῖδας ποιεῖν καὶ πολεμικωτέρους οὕτως ἐπαίδευσεν. Εἴποι δ' ἂν οὖν τις, τί δῆτα, εἴπερ τὸ κλέπτειν ἀγαθὸν ἐνόμιζε, πολλὰς πληγὰς ἐπέβαλλε τῷ ἁλισκομένῳ; Ὅτι, φημὶ ἐγώ, καὶ τἆλλα, ὅσα ἄνθρωποι διδάσκουσι, κολάζουσι τὸν μὴ καλῶς ὑπηρετοῦντα. Κἀκεῖνοι οὖν τοὺς ἁλισκομένους ὡς κακῶς κλέπτοντας τιμωροῦνται. Δηλοῦται δὲ ἐν τούτῳ ὅτι καὶ ὅπου τάχους δεῖ ὁ βλακεύων ἐλάχιστα μὲν ὠφελεῖται, πλεῖστα δὲ πράγματα λαμβάνει.

Ὅπως δὲ μηδ' εἰ ὁ παιδονόμος ἀπέλθοι, ἔρημοί ποτε οἱ παῖδες εἶεν ἄρχοντος, ἐποίησε τὸν ἀεὶ παρόντα τῶν πολιτῶν κύριον εἶναι καὶ ἐπιτάττειν τοῖς παισὶν ὅ τι ἀγαθὸν δοκοίη εἶναι, καὶ κολάζειν, εἴ τι ἁμαρτάνοιεν. Τοῦτο δὲ ποιήσας διέπραξε καὶ αἰδημονεστέρους εἶναι τοὺς παῖδας· οὐδὲν γὰρ οὕτως αἰδοῦνται οὔτε παῖδες οὔτε ἄνδρες ὡς τοὺς ἄρχοντας. Ὡς δὲ καὶ εἴ ποτε μηδεὶς τύχοι ἀνὴρ παρών, μηδ' ὡς ἔρημοι οἱ παῖδες ἄρχοντος εἶεν, ἔθηκε τῆς ἴλης ἑκάστης τὸν τορώτατον τῶν εἰρένων ἄρχειν· ὥστε οὐδέποτε ἐκεῖ οἱ παῖδες ἔρημοι ἄρχοντός εἰσι.

Parmi les autres Grecs, ceux qui prétendent donner à leurs fils la meilleure éducation les placent sous la conduite d'un serviteur, aussitôt que les enfants comprennent ce qu'on leur dit, et les envoient tout de suite à l'école pour apprendre les lettres, l'écriture, la gymnastique. En outre ils amollissent les pieds de leurs enfants en leur donnant des chaussures et ils énervent leurs corps en les faisant changer de vêtements : quant à la nourriture, ils estiment que leur appétit en est la mesure. Lycurgue, au contraire, au lieu de laisser chaque père de famille préposer en privé des esclaves à la conduite de ses enfants, chargea de les gouverner un de ceux mêmes qui remplissent les plus hautes magistratures, et que l'on appelle précisément *pédonome*. Il lui donna le pouvoir de rassembler les enfants, de les surveiller et de châtier rigoureusement les négligents. Il lui adjoignit des jeunes gens munis de fouets, pour les punir, quand il le fallait. Le résultat est qu'à Sparte il y a une grande réserve unie à une grande obéissance.

Au lieu de leur amollir les pieds en les chaussant, il enjoignit de les leur fortifier en les faisant marcher nu-pieds, persuadé que, s'ils s'y exerçaient, ils pourraient gravir beaucoup plus facilement les escarpements, descendre plus sûrement les pentes, et qu'ils sauteraient, bondiraient et courraient plus vite. Au lieu de les amollir par des habits, il introduisit l'habitude de ne porter qu'un seul vêtement pendant toute l'année, convaincu qu'ils seraient ainsi mieux préparés à supporter le froid et le chaud.

Quant à la nourriture, il enjoignit à l'*irène* de s'en procurer juste assez pour que les enfants ne fussent jamais alourdis par la satiété et qu'ils ne fussent pas sans expérience du besoin, estimant qu'ainsi élevés, ils seraient plus capables, s'il le fallait, de continuer à travailler à jeun et, si on le leur commandait, de durer plus longtemps avec la même ration, qu'ils auraient moins besoin de mets délicats, qu'ils se contenteraient plus facilement de n'importe quelle nourriture, qu'ils jouiraient d'une meilleure santé. Il jugea qu'un régime qui rendait les corps sveltes était plus favorable à la croissance que celui qui les engraisse par la nourriture.

[...]

Afin que, même si le *pédonome* était absent, les enfants ne restassent pas sans chef, Lycurgue donna pouvoir à tous les citoyens qui se trouveraient là de commander aux enfants ce qu'ils jugeraient bon et de les châtier, s'ils commettaient quelque faute. Il rendit par là les enfants encore plus respectueux, et, en fait, il n'y a rien que les Spartiates, enfants et hommes faits, respectent autant que les magistrats. Et pour que, si parfois il ne se trouvait là aucun homme fait, même alors les enfants ne fussent point sans chef, il chargea les plus avisés des *irènes* de commander chacun une division. Ainsi, à Sparte, les enfants ne restent jamais sans chef.

XÉNOPHON, *La république des Lacédémoniens*, Chapitre II
Traduction de Pierre Chambry (Garnier Flammarion, Paris), légèrement modifiée

VERSION GRECQUE

L'ami des dieux

Lors d'un banquet, Hermogène est invité à dire s'il a des amis puissants.

« Οὐκοῦν ὡς μὲν καὶ Ἕλληνες καὶ βάρβαροι τοὺς θεοὺς ἡγοῦνται πάντα εἰδέναι τά τε ὄντα καὶ τὰ μέλλοντα, εὔδηλον. Πᾶσαι γοῦν αἱ πόλεις καὶ πάντα τὰ ἔθνη διὰ μαντικῆς ἐπερωτῶσι τοὺς θεοὺς τί τε χρὴ καὶ τί οὐ χρὴ ποιεῖν. Καὶ μὴν ὅτι νομίζομέν γε δύνασθαι αὐτοὺς καὶ εὖ καὶ κακῶς ποιεῖν, καὶ τοῦτο σαφές. Πάντες γοῦν αἰτοῦνται τοὺς θεοὺς τὰ μὲν φαῦλα ἀποτρέπειν, τἀγαθὰ δὲ διδόναι. Οὗτοι τοίνυν οἱ πάντα μὲν εἰδότες πάντα δὲ δυνάμενοι θεοὶ οὕτω μοι φίλοι εἰσὶν ὥστε, διὰ τὸ ἐπιμελεῖσθαί μου, οὔποτε λήθω αὐτοὺς οὔτε νυκτὸς οὔθ' ἡμέρας οὔθ' ὅποι ἂν ὁρμῶμαι οὔθ' ὅ τι ἂν μέλλω πράττειν. Διὰ δὲ τὸ προειδέναι καὶ ὅ τι ἐξ ἑκάστου ἀποβήσεται, σημαίνουσί μοι, πέμποντες ἀγγέλους φήμας καὶ ἐνύπνια καὶ οἰωνούς, ἅ τε δεῖ καὶ ἃ οὐ χρὴ ποιεῖν, οἷς ἐγὼ ὅταν μὲν πείθωμαι, οὐδέποτέ μοι μεταμέλει· ἤδη δέ ποτε καὶ ἀπιστήσας ἐκολάσθην. » Καὶ ὁ Σωκράτης εἶπεν· « Ἀλλὰ τούτων μὲν οὐδὲν ἄπιστον. Ἐκεῖνο μέντοι ἔγωγε ἡδέως ἂν πυθοίμην, πῶς αὐτοὺς θεραπεύων οὕτω φίλους ἔχεις. » — « Ναὶ μὰ τὸν Δί', ἔφη ὁ Ἑρμογένης, καὶ μάλα εὐτελῶς. Ἐπαινῶ τε γὰρ αὐτοὺς οὐδὲν δαπανῶν, ὧν τε διδόασιν ἀεὶ αὖ παρέχομαι, εὐφημῶ τε ὅσα ἂν δύνωμαι, καὶ ἐφ' οἷς ἂν αὐτοὺς μάρτυρας ποιήσωμαι ἑκὼν οὐδὲν ψεύδομαι. »

XÉNOPHON

VERSION GRECQUE

Durée : 4 heures

UN ALLIÉ INATTENDU

Alors qu'Ajax considérait Ulysse comme son pire ennemi, ce dernier a pris face aux Atrides la défense du héros mort, pour la plus grande surprise de Teucros.

ΤΕΥΚΡΟΣ

Ἄριστ' Ὀδυσσεῦ, πάντ' ἔχω σ' ἐπαινέσαι
λόγοισι, καί μ' ἔψευσας ἐλπίδος πολύ.
Τούτῳ γὰρ ὢν ἔχθιστος Ἀργείων ἀνὴρ
μόνος παρέστης χερσίν, οὐδ' ἔτλης παρὼν
θανόντι τῷδε ζῶν ἐφυβρίσαι μέγα,
ὡς ὁ στρατηγὸς οὑπιβρόντητος μολὼν
αὐτός τε χὼ ξύναιμος ἠθελησάτην
λωβητὸν αὐτὸν ἐκβαλεῖν ταφῆς ἄτερ.
Τοιγάρ σφ' Ὀλύμπου τοῦδ' ὁ πρεσβεύων πατὴρ
μνήμων τ' Ἐρινὺς καὶ τελεσφόρος Δίκη
κακοὺς κακῶς φθείρειαν, ὥσπερ ἤθελον
τὸν ἄνδρα λώβαις ἐκβαλεῖν ἀναξίως.
Σὲ δ', ὦ γεραιοῦ σπέρμα Λαέρτου πατρός,
τάφου μὲν ὀκνῶ τοῦδ' ἐπιψαύειν ἐᾶν,
μὴ τῷ θανόντι τοῦτο δυσχερὲς ποῶ·
τὰ δ' ἄλλα καὶ ξύμπρασσε, κεἴ τινα στρατοῦ
θέλεις κομίζειν, οὐδὲν ἄλγος ἕξομεν.
Ἐγὼ δὲ τἀμὰ πάντα πορσυνῶ· σὺ δὲ
ἀνὴρ καθ' ἡμᾶς ἐσθλὸς ὢν ἐπίστασο.

SOPHOCLE

Nota bene : au v. 9, le pronom élidé σφ' équivaut à αὐτούς.

TRADUCTION ET COMMENTAIRE D'UN TEXTE GREC

Vous traduirez les vers 17-29 (Εἶεν inclus) et commenterez l'ensemble du texte (v. 1-48)

INVINCIBLE CYPRIS

Après la chute de Troie, face à Ménélas, qui a remis la main sur elle, et à Hécube, qui l'accuse de tous les maux, Hélène cherche à se disculper en invoquant le destin funeste de Pâris-Alexandre et la toute-puissance d'Aphrodite.

Ἐγὼ δ', ἅ σ' οἶμαι διὰ λόγων ἰόντ' ἐμοῦ
κατηγορήσειν, ἀντιθεῖσ' ἀμείψομαι
τοῖς σοῖσι τἀμὰ καὶ τὰ σ' αἰτιάματα.
Πρῶτον μὲν ἀρχὰς ἔτεκεν ἥδε τῶν κακῶν,
Πάριν τεκοῦσα · δεύτερον δ' ἀπώλεσεν
Τροίαν τε κἄμ' ὁ πρέσβυς οὐ κτανὼν βρέφος,
δαλοῦ πικρὸν μίμημ', Ἀλέξανδρον τότε.
Ἐνθένδε τἀπίλοιπ' ἄκουσον ὡς ἔχει.
Ἔκρινε τρισσὸν ζεῦγος ὅδε τριῶν θεῶν ·
καὶ Παλλάδος μὲν ἦν Ἀλεξάνδρῳ δόσις
Φρυξὶ στρατηγοῦνθ' Ἑλλάδ' ἐξανιστάναι ·
Ἥρα δ' ὑπέσχετ' Ἀσιάδ' Εὐρώπης θ' ὅρους
τυραννίδ' ἕξειν, εἴ σφε κρίνειεν Πάρις ·
Κύπρις δὲ τοὐμὸν εἶδος ἐκπαγλουμένη
δώσειν ὑπέσχετ', εἰ θεὰς ὑπερδράμοι
κάλλει. Τὸν ἔνθεν δ' ὡς ἔχει σκέψαι λόγον ·
νικᾷ Κύπρις θεάς, καὶ τοσόνδ' οὑμοὶ γάμοι
ὤνησαν Ἑλλάδ' · οὐ κρατεῖσθ' ἐκ βαρβάρων,
οὔτ' ἐς δόρυ σταθέντες, οὐ τυραννίδι.
Ἃ δ' εὐτύχησεν Ἑλλάς, ὠλόμην ἐγὼ
εὐμορφίᾳ πραθεῖσα, κὠνειδίζομαι
ἐξ ὧν ἐχρῆν με στέφανον ἐπὶ κάρᾳ λαβεῖν.
Οὔπω με φήσεις αὐτὰ τἀν ποσὶν λέγειν,
ὅπως ἀφώρμησ' ἐκ δόμων τῶν σῶν λάθρᾳ.
Ἦλθ' οὐχὶ μικρὰν θεὸν ἔχων αὑτοῦ μέτα
ὁ τῆσδ' ἀλάστωρ, εἴτ' Ἀλέξανδρον θέλεις
ὀνόματι προσφωνεῖν νιν εἴτε καὶ Πάριν ·
ὅν, ὦ κάκιστε, σοῖσιν ἐν δόμοις λιπὼν
Σπάρτης ἀπῆρας νηὶ Κρησίαν χθόνα.
Εἶεν.
Οὐ σ', ἀλλ' ἐμαυτὴν τοὐπὶ τῷδ' ἐρήσομαι ·
τί δὴ φρονοῦσά γ' ἐκ δόμων ἅμ' ἑσπόμην
ξένῳ, προδοῦσα πατρίδα καὶ δόμους ἐμούς ;
Τὴν θεὸν κόλαζε καὶ Διὸς κρείσσων γενοῦ,
ὃς τῶν μὲν ἄλλων δαιμόνων ἔχει κράτος,
κείνης δὲ δοῦλός ἐστι · συγγνώμη δ' ἐμοί.
Ἔνθεν δ' ἔχοις ἂν εἰς ἔμ' εὐπρεπῆ λόγον ·
ἐπεὶ θανὼν γῆς ἦλθ' Ἀλέξανδρος μυχούς,
χρῆν μ', ἡνίκ' οὐκ ἦν θεοπόνητά μου λέχη,
λιποῦσαν οἴκους ναῦς ἔπ' Ἀργείων μολεῖν.
Ἔσπευδον αὐτὸ τοῦτο · μάρτυρες δέ μοι
πύργων πυλωροὶ κἀπὸ τειχέων σκοποί,
οἳ πολλάκις μ' ἐφηῦρον ἐξ ἐπάλξεων
πλεκταῖσιν ἐς γῆν σῶμα κλέπτουσαν τόδε.
Πῶς οὖν ἔτ' ἂν θνῄσκοιμ' ἂν ἐνδίκως, πόσι,
πρὸς σοῦ δικαίως, ἣν ὁ μὲν βίᾳ γαμεῖ,
τὰ δ' οἴκοθεν κεῖν' ἀντὶ νικητηρίων
πικρῶς ἐδούλωσ' ; Εἰ δὲ τῶν θεῶν κρατεῖν
βούλῃ, τὸ χρῄζειν ἀμαθές ἐστί σου τόδε.

VERSION GRECQUE

Deux vieillards s'en vont danser

Tirésias est venu chercher Cadmos au palais. Revêtus de la tenue des bacchants, ils partent célébrer Dionysos dans la montagne.

ΚΑΔΜΟΣ ῞Ηκω δ' ἕτοιμος τήνδ' ἔχων σκευὴν θεοῦ·
δεῖ γάρ νιν ὄντα παῖδα θυγατρὸς ἐξ ἐμῆς[1]
ὅσον καθ' ἡμᾶς δυνατὸν αὔξεσθαι μέγαν.
Ποῖ δεῖ χορεύειν, ποῖ καθιστάναι πόδα
καὶ κρᾶτα σεῖσαι πολιόν; Ἐξηγοῦ σύ μοι
γέρων γέροντι, Τειρεσία· σὺ γὰρ σοφός.
Ὡς οὐ κάμοιμ' ἂν οὔτε νύκτ' οὔθ' ἡμέραν
θύρσῳ κροτῶν γῆν· ἐπιλελήσμεθ' ἡδέως
γέροντες ὄντες.
ΤΕΙΡΕΣΙΑΣ Ταὔτ' ἐμοὶ πάσχεις ἄρα·
κἀγὼ γὰρ ἡβῶ κἀπιχειρήσω χοροῖς.
Κα. Οὔκουν ὄχοισιν εἰς ὄρος περάσομεν;
Τε. Ἀλλ' οὐχ ὁμοίως ἂν ὁ θεὸς τιμὴν ἔχοι.
Κα. Γέρων γέροντα παιδαγωγήσω σ' ἐγώ;
Τε. Ὁ θεὸς ἀμοχθεὶ κεῖσε νῷν ἡγήσεται.
Κα. Μόνοι δὲ πόλεως Βακχίῳ χορεύσομεν;
Τε. Μόνοι γὰρ εὖ φρονοῦμεν, οἱ δ' ἄλλοι κακῶς.
Κα. Μακρὸν τὸ μέλλειν· ἀλλ' ἐμῆς ἔχου χερός.
Τε. Ἰδού, ξύναπτε καὶ ξυνωρίζου χέρα.
Κα. Ἐρεῖ τις ὡς τὸ γῆρας οὐκ αἰσχύνομαι,
μέλλων χορεύειν κρᾶτα κισσώσας ἐμόν;
Τε. Οὐ γὰρ διῄρηχ' ὁ θεὸς οὔτε τὸν νέον,
εἰ χρὴ χορεύειν οὔτε τὸν γεραίτερον,
ἀλλ' ἐξ ἁπάντων βούλεται τιμὰς ἔχειν
κοινάς, διαριθμῶν δ' οὐδέν' αὔξεσθαι θέλει.

EURIPIDE

[1] Cadmos est le père de Sémélé, mère de Dionysos.

VERSION GRECQUE

—

FEMME FATALE

Pour les Grecs comme pour les Troyens, Hélène représentait le plus irrésistible des prix.

Τίς δ' ἂν τὸν γάμον τὸν Ἑλένης ὑπερεῖδεν, ἧς ἁρπασθείσης οἱ μὲν Ἕλληνες οὕτως ἠγανάκτησαν ὥσπερ ὅλης τῆς Ἑλλάδος πεπορθημένης, οἱ δὲ βάρβαροι τοσοῦτον ἐφρόνησαν ὅσον περ ἂν εἰ πάντων ἡμῶν ἐκράτησαν. Δῆλον δ' ὡς ἑκάτεροι διετέθησαν· πολλῶν γὰρ αὐτοῖς πρότερον ἐγκλημάτων γενομένων ὑπὲρ μὲν τῶν ἄλλων ἡσυχίαν ἦγον, ὑπὲρ δὲ ταύτης τηλικοῦτον συνεστήσαντο πόλεμον οὐ μόνον τῷ μεγέθει τῆς ὀργῆς, ἀλλὰ καὶ τῷ μήκει τοῦ χρόνου καὶ τῷ πλήθει τῶν παρασκευῶν ὅσος οὐδεὶς πώποτε γέγονεν. Ἐξὸν δὲ τοῖς μὲν ἀποδοῦσιν Ἑλένην ἀπηλλάχθαι τῶν παρόντων κακῶν, τοῖς δ' ἀμελήσασιν ἐκείνης ἀδεῶς οἰκεῖν τὸν ἐπίλοιπον χρόνον, οὐδέτεροι ταῦτ' ἠθέλησαν· ἀλλ' οἱ μὲν περιεώρων καὶ πόλεις ἀναστάτους γιγνομένας καὶ τὴν χώραν πορθουμένην ὥστε μὴ προέσθαι τοῖς Ἕλλησιν αὐτήν, οἱ δ' ᾑροῦντο μένοντες ἐπὶ τῆς ἀλλοτρίας καταγηράσκειν καὶ μηδέποτε τοὺς αὑτῶν ἰδεῖν μᾶλλον ἢ 'κείνην καταλιπόντες εἰς τὰς αὑτῶν πατρίδας ἀπελθεῖν. Καὶ ταῦτ' ἐποίουν οὐχ ὑπὲρ Ἀλεξάνδρου καὶ Μενελάου φιλονικοῦντες, ἀλλ' οἱ μὲν ὑπὲρ τῆς Ἀσίας, οἱ δ' ὑπὲρ τῆς Εὐρώπης, νομίζοντες, ἐν ὁποτέρᾳ τὸ σῶμα τοὐκείνης κατοικήσειεν, ταύτην εὐδαιμονεστέραν τὴν χώραν ἔσεσθαι.

ISOCRATE, *Éloge d'Hélène*

TRADUCTION ET COMMENTAIRE D'UN TEXTE GREC

Vous traduirez les lignes 12 à 22 et commenterez l'ensemble du texte.

Se souvenir d'un homme accompli

*S'adressant à Terpsion, Euclide de Mégare évoque la rencontre qu'il vient de faire avec le célèbre mathématicien Théétète, gravement blessé à la guerre. C'est l'occasion pour lui de rappeler l'admiration que Socrate vouait à Théétète et les entretiens que ces deux hommes eurent ensemble à l'époque. Le texte proposé est l'*incipit *du dialogue.*

ΕΥΚΛΕΙΔΗΣ

Ἄρτι, ὦ Τερψίων, ἢ πάλαι ἐξ ἀγροῦ ;

ΤΕΡΨΙΩΝ

Ἐπιεικῶς πάλαι. Καὶ σέ γε ἐζήτουν κατ' ἀγορὰν καὶ ἐθαύμαζον ὅτι οὐχ οἷός τ' ἢ εὑρεῖν.

ΕΥ. Οὐ γὰρ ἦ κατὰ πόλιν.

ΤΕΡ. Ποῦ μήν ;

ΕΥ. Εἰς λιμένα καταβαίνων Θεαιτήτῳ ἐνέτυχον φερομένῳ ἐκ Κορίνθου ἀπὸ τοῦ στρατοπέδου Ἀθήναζε.

ΤΕΡ. Ζῶντι ἢ τετελευτηκότι ;

ΕΥ. Ζῶντι καὶ μάλα μόλις · χαλεπῶς μὲν γὰρ ἔχει καὶ ὑπὸ τραυμάτων τινῶν, μᾶλλον μὴν αὐτὸν αἱρεῖ τὸ γεγονὸς νόσημα ἐν τῷ στρατεύματι.

ΤΕΡ. Μῶν ἡ δυσεντερία ;

ΕΥ. Ναί.

ΤΕΡ. Οἷον ἄνδρα λέγεις ἐν κινδύνῳ εἶναι.

ΕΥ. Καλόν τε καὶ ἀγαθόν, ὦ Τερψίων, ἐπεί τοι καὶ νῦν ἤκουόν τινων μάλα ἐγκωμιαζόντων αὐτὸν περὶ τὴν μάχην.

ΤΕΡ. Καὶ οὐδέν γ' ἄτοπον, ἀλλὰ πολὺ θαυμαστότερον εἰ μὴ τοιοῦτος ἦν. Ἀτὰρ πῶς οὐκ αὐτοῦ Μεγαροῖ κατέλυεν ;

ΕΥ. Ἠπείγετο οἴκαδε · ἐπεὶ ἔγωγ' ἐδεόμην καὶ συνεβούλευον, ἀλλ' οὐκ ἤθελεν. Καὶ δῆτα προπέμψας αὐτόν, ἀπιὼν πάλιν ἀνεμνήσθην καὶ ἐθαύμασα Σωκράτους ὡς μαντικῶς ἄλλα τε δὴ εἶπε καὶ περὶ τούτου. Δοκεῖ γάρ μοι ὀλίγον πρὸ τοῦ θανάτου ἐντυχεῖν αὐτῷ μειρακίῳ ὄντι, καὶ συγγενόμενός τε καὶ διαλεχθεὶς πάνυ ἀγασθῆναι αὐτοῦ τὴν φύσιν. Καί μοι ἐλθόντι Ἀθήναζε τούς τε λόγους οὓς διελέχθη αὐτῷ διηγήσατο καὶ μάλα ἀξίους ἀκοῆς, εἶπέ τε ὅτι πᾶσα ἀνάγκη εἴη τοῦτον ἐλλόγιμον γενέσθαι, εἴπερ εἰς ἡλικίαν ἔλθοι.

ΤΕΡ. Καὶ ἀληθῆ γε, ὡς ἔοικεν, εἶπεν. Ἀτὰρ τίνες ἦσαν οἱ λόγοι ; Ἔχοις ἂν διηγήσασθαι ;

ΕΥ. Οὐ μὰ τὸν Δία, οὔκουν οὕτω γε ἀπὸ στόματος · ἀλλ' ἐγραψάμην μὲν τότ' εὐθὺς οἴκαδ' ἐλθὼν ὑπομνήματα, ὕστερον δὲ κατὰ σχολὴν ἀναμιμνῃσκόμενος ἔγραφον, καὶ ὁσάκις Ἀθήναζε ἀφικοίμην, ἐπανηρώτων τὸν Σωκράτη ὃ μὴ ἐμεμνήμην, καὶ δεῦρο ἐλθὼν ἐπηνορθούμην · ὥστε μοι σχεδόν τι πᾶς ὁ λόγος γέγραπται.

ΤΕΡ. Ἀληθῆ · ἤκουσά σου καὶ πρότερον, καὶ μέντοι ἀεὶ μέλλων κελεύσειν ἐπιδεῖξαι διατέτριφα δεῦρο. Ἀλλὰ τί κωλύει νῦν ἡμᾶς διελθεῖν ; Πάντως ἔγωγε καὶ ἀναπαύσασθαι δέομαι ὡς ἐξ ἀγροῦ ἥκων.

ΕΥ. Ἀλλὰ μὲν δὴ καὶ αὐτὸς μέχρι Ἐρινοῦ[1] Θεαίτητον προὔπεμψα, ὥστε οὐκ ἂν ἀηδῶς ἀναπαυοίμην. Ἀλλ' ἴωμεν, καὶ ἡμῖν ἅμα ἀναπαυομένοις ὁ παῖς ἀναγνώσεται.

ΤΕΡ. Ὀρθῶς λέγεις.

ΕΥ. Τὸ μὲν δὴ βιβλίον, ὦ Τερψίων, τουτί · ἐγραψάμην δὲ δὴ οὑτωσὶ τὸν λόγον, οὐκ ἐμοὶ Σωκράτη διηγούμενον ὡς διηγεῖτο, ἀλλὰ διαλεγόμενον οἷς ἔφη διαλεχθῆναι. Ἔφη δὲ τῷ τε γεωμέτρῃ Θεοδώρῳ καὶ τῷ Θεαιτήτῳ. Ἵνα οὖν ἐν τῇ γραφῇ μὴ παρέχοιεν πράγματα αἱ μεταξὺ τῶν λόγων διηγήσεις περὶ αὑτοῦ τε ὁπότε λέγοι ὁ Σωκράτης, οἷον « καὶ ἐγὼ ἔφην » ἢ « καὶ ἐγὼ εἶπον », ἢ αὖ περὶ τοῦ ἀποκρινομένου ὅτι « συνέφη » ἢ « οὐχ ὡμολόγει », τούτων ἕνεκα ὡς αὐτὸν αὐτοῖς διαλεγόμενον ἔγραψα, ἐξελὼν τὰ τοιαῦτα.

ΤΕΡ. Καὶ οὐδέν γε ἀπὸ τρόπου, ὦ Εὐκλείδη.

ΕΥ. Ἀλλά, παῖ, λαβὲ τὸ βιβλίον καὶ λέγε.

---

[1] Bourg de l'Attique à la limite du territoire athénien, en direction de Mégare.

EUCLIDE

Viens-tu d'arriver de la campagne, Terpsion, ou es-tu rentré depuis longtemps ?

TERPSION

Depuis un certain temps ! D'ailleurs, je te cherchais sur l'*agora* et je m'étonnais de ne pas réussir à te trouver.

EU. Effectivement, je n'étais pas en ville.

TER. Où étais-tu donc ?

EU. Je descendais vers le port quand je suis tombé sur Théétète ; on le transportait de son camp de Corinthe, jusqu'à Athènes.

TER. Vivant ou mort ?

EU. C'est tout juste s'il vivait encore ! Il est en effet dans un triste état, à cause de blessures qu'il a reçues, mais, plus encore, il est en proie à la maladie qui sévit dans l'armée.

TER. Serait-ce par hasard la dysenterie ?

EU. Oui.

TER. Quel homme, celui que tu dis être en danger !

(...)

EU. Non, par Zeus, du moins pas comme cela, pas de mémoire ! Mais, à l'époque, aussitôt arrivé chez moi, j'ai couché par écrit ce dont je me souvenais ; et ensuite, quand j'en avais le loisir, je rappelais mes souvenirs pour les écrire, et chaque fois que je me rendais à Athènes, j'interrogeais de nouveau Socrate sur ce dont je ne me souvenais pas, puis, revenu ici, je corrigeais mon travail, si bien que, d'après moi, tout l'entretien s'est trouvé consigné par écrit.

TER. C'est vrai ; tu m'en as parlé auparavant, et bien que j'aie toujours eu l'intention de t'inviter à exposer ton talent, j'ai remis jusqu'ici. Mais qu'est-ce qui nous empêche maintenant de détailler ces propos ? De toute façon, pour ma part, comme je reviens de la campagne, j'ai besoin de me reposer.

EU. Mais bien certainement ! Moi aussi, j'ai accompagné Théétète jusqu'à Érinos, si bien que je ne serais pas fâché de me reposer. Eh bien, allons-y, et pendant que nous nous reposerons, mon jeune esclave nous fera la lecture.

TER. Bien parlé !

EU. Voici le cahier dont je te parlais, Terpsion. C'est de cette façon que j'ai mis par écrit notre entretien : non pas Socrate me faisant le récit comme il me le faisait, mais Socrate s'entretenant avec ceux avec lesquels, me disait-il, il s'était entretenu. Il s'agissait, me précisa-t-il, de Théodore le géomètre et de Théétète. Pour éviter, donc, que les formules qui séparent les répliques ne gênent dans ma rédaction, à la fois lorsque Socrate disait de lui-même, par exemple, « et moi je disais » ou « et moi j'ai dit », ou qu'il s'agissait, au contraire, de celui qui répondait : « il en convenait » ou encore « il n'était pas d'accord », pour cette raison, j'ai écrit comme si c'était lui-même qui s'entretenait avec eux, en supprimant les formules de ce genre.

TER. Il n'y a rien là, en vérité, qui ne convienne, Euclide.

EU. Allons, mon garçon, prends le cahier et lis.

Platon, *Théétète*, 142a-143c

VERSION GRECQUE

RÉPROBATION ET ÉDUCATION :

FINESSE DES ATHÉNIENS FACE À UN NOUVEAU RICHE

Ἐλθὼν[1] Ἀθήναζε, μάλ' ἐπίσημος καὶ φορτικὸς ἀκολούθων ὄχλῳ καὶ ποικίλῃ ἐσθῆτι καὶ χρυσῷ, αὐτὸς μὲν ᾤετο ζηλωτὸς εἶναι πᾶσι τοῖς Ἀθηναίοις καὶ ὡς εὐδαίμων ἀποβλέπεσθαι· τοῖς δ' ἄρα δυστυχεῖν ἐδόκει τὸ ἀνθρώπιον καὶ παιδεύειν ἐπεχείρουν αὐτὸν οὐ πικρῶς οὐδ' ἄντικρυς ἀπαγορεύοντες ἐν ἐλευθέρᾳ τῇ πόλει καθ' ὅντινα τρόπον βούλεται μὴ βιοῦν· ἀλλ' ἐπεὶ κἀν τοῖς γυμνασίοις καὶ λουτροῖς ὀχληρὸς ἦν θλίβων τοῖς οἰκέταις καὶ στενοχωρῶν τοὺς ἀπαντῶντας, ἡσυχῇ τις ὑπεφθέγξατο προσποιούμενος λανθάνειν, ὥσπερ οὐ πρὸς αὐτὸν ἐκεῖνον ἀποτείνων· « Δέδοικε μὴ παραπόληται μεταξὺ λουόμενος ; Καὶ μὴν εἰρήνη γε μακρὰ κατέχει τὸ βαλανεῖον· οὐδὲν οὖν δεῖ στρατοπέδου. » Ὁ δέ, ἀκούων ἃ ἦν, μεταξὺ ἐπαιδεύετο. Τὴν δὲ ἐσθῆτα τὴν ποικίλην καὶ τὰς πορφυρίδας ἐκείνας ἀπέδυσαν αὐτὸν ἀστείως πάνυ τὸ ἀνθηρὸν ἐπισκώπτοντες τῶν χρωμάτων, « Ἔαρ ἤδη ; » λέγοντες καὶ « Πόθεν ὁ ταὼς οὗτος ; » καὶ « Τάχα τῆς μητρός ἐστιν αὐτοῦ » καὶ τὰ τοιαῦτα. Καὶ τὰ ἄλλα δὲ οὕτως ἀπέσκωπτον, ἢ τῶν δακτυλίων τὸ πλῆθος ἢ τῆς κόμης τὸ περίεργον ἢ τῆς διαίτης τὸ ἀκόλαστον· ὥστε κατὰ μικρὸν ἐσωφρονίσθη καὶ παρὰ πολὺ βελτίων ἀπῆλθε δημοσίᾳ πεπαιδευμένος.

LUCIEN

[1] Il s'agit du nouveau riche.

VERSION GRECQUE

—

FEMME FATALE

Pour les Grecs comme pour les Troyens, Hélène représentait le plus irrésistible des prix.

Τίς δ' ἂν τὸν γάμον τὸν Ἑλένης ὑπερεῖδεν, ἧς ἁρπασθείσης οἱ μὲν Ἕλληνες οὕτως ἠγανάκτησαν ὥσπερ ὅλης τῆς Ἑλλάδος πεπορθημένης, οἱ δὲ βάρβαροι τοσοῦτον ἐφρόνησαν ὅσον περ ἂν εἰ πάντων ἡμῶν ἐκράτησαν. Δῆλον δ' ὡς ἑκάτεροι διετέθησαν· πολλῶν γὰρ αὐτοῖς πρότερον ἐγκλημάτων γενομένων ὑπὲρ μὲν τῶν ἄλλων ἡσυχίαν ἦγον, ὑπὲρ δὲ ταύτης τηλικοῦτον συνεστήσαντο πόλεμον οὐ μόνον τῷ μεγέθει τῆς ὀργῆς, ἀλλὰ καὶ τῷ μήκει τοῦ χρόνου καὶ τῷ πλήθει τῶν παρασκευῶν ὅσος οὐδεὶς πώποτε γέγονεν. Ἐξὸν δὲ τοῖς μὲν ἀποδοῦσιν Ἑλένην ἀπηλλάχθαι τῶν παρόντων κακῶν, τοῖς δ' ἀμελήσασιν ἐκείνης ἀδεῶς οἰκεῖν τὸν ἐπίλοιπον χρόνον, οὐδέτεροι ταῦτ' ἠθέλησαν· ἀλλ' οἱ μὲν περιεώρων καὶ πόλεις ἀναστάτους γιγνομένας καὶ τὴν χώραν πορθουμένην ὥστε μὴ προέσθαι τοῖς Ἕλλησιν αὐτήν, οἱ δ' ᾑροῦντο μένοντες ἐπὶ τῆς ἀλλοτρίας καταγηράσκειν καὶ μηδέποτε τοὺς αὐτῶν ἰδεῖν μᾶλλον ἢ 'κείνην καταλιπόντες εἰς τὰς αὑτῶν πατρίδας ἀπελθεῖν. Καὶ ταῦτ' ἐποίουν οὐχ ὑπὲρ Ἀλεξάνδρου καὶ Μενελάου φιλονικοῦντες, ἀλλ' οἱ μὲν ὑπὲρ τῆς Ἀσίας, οἱ δ' ὑπὲρ τῆς Εὐρώπης, νομίζοντες, ἐν ὁποτέρᾳ τὸ σῶμα τοὐκείνης κατοικήσειεν, ταύτην εὐδαιμονεστέραν τὴν χώραν ἔσεσθαι.

ISOCRATE, *Éloge d'Hélène*

TRADUCTION ET COMMENTAIRE D'UN TEXTE GREC

Vous traduirez les vers 918-929 et commenterez l'ensemble du passage (vers 895-939).

MESURE ET DEMESURE DE L'HOMMAGE

À son retour de Troie, Agamemnon est accueilli à Argos par son épouse, Clytemnestre. Au moment de descendre de son char, il hésite à fouler du pied les étoffes de pourpre que la reine fait déployer sur le sol pour exalter l'exploit.

ΚΛΥΤΑΙΜΗΣΤΡΑ

Νῦν, ταῦτα πάντα τλᾶσ', ἀπενθήτῳ φρενὶ
λέγοιμ' ἂν ἄνδρα τόνδε τῶν σταθμῶν κύνα,
σωτῆρα ναὸς πρότονον, ὑψηλῆς στέγης
στῦλον ποδήρη, μονογενὲς τέκνον πατρί,
καὶ γῆν φανεῖσαν ναυτίλοις παρ' ἐλπίδα,
κάλλιστον ἦμαρ εἰσιδεῖν ἐκ χείματος,
ὁδοιπόρῳ διψῶντι πηγαῖον ῥέος ·
τερπνὸν δὲ τἀναγκαῖον ἐκφυγεῖν ἅπαν ·
τοιοῖσδέ τοί νιν ἀξιῶ προσφθέγμασιν ·
φθόνος δ' ἀπέστω · πολλὰ γὰρ τὰ πρὶν κακὰ
ἠνειχόμεσθα. Νῦν δέ μοι, φίλον κάρα,
ἔκβαιν' ἀπήνης τῆσδε, μὴ χαμαὶ τιθεὶς
τὸν σὸν πόδ', ὦναξ, Ἰλίου πορθήτορα.
Δμῳαί, τί μέλλεθ', αἷς ἐπέσταλται τέλος
πέδον κελεύθου στορνύναι πετάσμασιν ;
Εὐθὺς γενέσθω πορφυρόστρωτος πόρος
ἐς δῶμ' ἄελπτον ὡς ἂν ἡγῆται Δίκη.
Τὰ δ' ἄλλα φροντὶς οὐχ ὕπνῳ νικωμένη
θήσει δικαίως σὺν θεοῖς εἱμαρμένα.

ΑΓΑΜΕΜΝΩΝ

Λήδας γένεθλον, δωμάτων ἐμῶν φύλαξ,
ἀπουσίᾳ μὲν εἶπας εἰκότως ἐμῇ ·
μακρὰν γὰρ ἐξέτεινας · ἀλλ' ἐναισίμως
αἰνεῖν, παρ' ἄλλων χρὴ τόδ' ἔρχεσθαι γέρας.

Καὶ τἄλλα μὴ γυναικὸς ἐν τρόποις ἐμὲ
ἅβρυνε, μηδὲ βαρβάρου φωτὸς δίκην
χαμαιπετὲς βόαμα προσχάνῃς ἐμοί,
μηδ' εἵμασι στρώσασ' ἐπίφθονον πόρον
τίθει · θεούς τοι τοῖσδε τιμαλφεῖν χρεών ·
ἐν ποικίλοις δὲ θνητὸν ὄντα κάλλεσιν
βαίνειν ἐμοὶ μὲν οὐδαμῶς ἄνευ φόβου.
Λέγω κατ' ἄνδρα, μὴ θεόν, σέβειν ἐμέ.
Χωρὶς ποδοψήστρων τε καὶ τῶν ποικίλων
κληδὼν ἀϋτεῖ · καὶ τὸ μὴ κακῶς φρονεῖν
θεοῦ μέγιστον δῶρον · ὀλβίσαι δὲ χρὴ
βίον τελευτήσαντ' ἐν εὐεστοῖ φίλῃ.

Εἶπον, τάδ' οὐ πράσσοιμ' ἂν εὐθαρσὴς ἐγώ.
ΚΛ. Καὶ μὴν τόδ' εἰπὲ μὴ παρὰ γνώμην ἐμοί.
ΑΓ. Γνώμην μὲν ἴσθι μὴ διαφθεροῦντ' ἐμέ.
ΚΛ. Ηὔξω θεοῖς δείσας ἂν ὧδ' ἔρδειν τάδε ;
ΑΓ. Εἴπερ τις εἰδώς γ' εὖ τόδ' ἐξεῖπεν τέλος.
ΚΛ. Τί δ' ἂν δοκεῖ σοι Πρίαμος, εἰ τάδ' ἤνυσεν ;
ΑΓ. Ἐν ποικίλοις ἂν κάρτα μοι βῆναι δοκεῖ.
ΚΛ. Μή νυν τὸν ἀνθρώπειον αἰδεσθῇς ψόγον.
ΑΓ. Φήμη γε μέντοι δημόθρους μέγα σθένει.
ΚΛ. Ὁ δ' ἀφθόνητός γ' οὐκ ἐπίζηλος πέλει.

CLYTEMNESTRE

Aujourd'hui, après tout ce que j'ai enduré, c'est d'un cœur rasséréné que je peux dire de l'homme que voici : c'est le chien du domaine, c'est le câble sauveur du navire, c'est la colonne bien plantée qui soutient la haute toiture, c'est l'enfant, fils unique d'un père, et c'est la terre apparue aux matelots qui ne l'espéraient plus, c'est le jour qui s'offre splendide aux regards après l'ouragan, c'est la source d'eau vive pour le voyageur qui a soif – quelle douceur d'échapper à la contrainte du sort, sans restriction… Voilà les noms dont je juge digne de le saluer. Bannie soit toute jalousie, car trop nombreux sont les maux que nous avons supportés jusqu'ici. Maintenant, tête chérie, descends de ce char sans poser le pied sur la terre, seigneur, ton pied qui écrasa Ilion. Servantes, qu'attendez-vous ? Je vous avais confié la tâche de joncher de tapis le sol qu'il va fouler. Vite, qu'on déploie un chemin jonché de pourpre qui le conduise vers un palais inespéré sur les traces de Justice. Le reste, la préoccupation qui a toujours triomphé de mon sommeil le réglera en toute justice, avec l'aide des dieux, selon l'arrêt du destin. *(Elle se prosterne.)*

AGAMEMNON

Fille de Léda, gardienne de mon palais, la longueur de ton discours est à la mesure de mon absence : tu l'as beaucoup étiré ! Or, pour louer comme il convient, il faut que l'hommage vienne des autres.

J'ai parlé, je ne saurais faire cela sans appréhension, moi.

CLYTEMNESTRE Allons, parle-moi maintenant sans aller contre ta pensée.

AGAMEMNON Ma pensée, sache bien que je ne la déformerai pas, moi.

CLYTEMNESTRE Aurait-il pu arriver, dans un mouvement de peur, que tu promettes aux dieux d'agir de cette façon ?

AGAMEMNON Seulement si un expert me l'avait clairement prescrit.

CLYTEMNESTRE Et qu'aurait fait Priam, à ton avis, s'il avait remporté cette victoire ?

AGAMEMNON Il aurait bel et bien marché sur les tissus moirés, à mon avis.

CLYTEMNESTRE Alors tu n'as pas à craindre le blâme des hommes.

AGAMEMNON Mais les rumeurs colportées par le peuple ont un grand poids.

CLYTEMNESTRE Jamais on n'est enviable sans être jalousé.

ESCHYLE, *Agamemnon,* 895-939

VERSION GRECQUE

LE CALVAIRE D'UN PARASITE

Un parasite expose ce qu'il a enduré lors d'un banquet.

Ἰατταταιάξ, τίς ἦν ἡ χθὲς ἡμέρα ; Ἢ τίς δαίμων ἢ θεὸς ἀπὸ μηχανῆς ἐρρύσατό μ' ἐν ἀκαρεῖ μέλλοντα παρὰ τοὺς πλείονας[1] ἰέναι ; Εἰ μὴ γὰρ ἀναζεύξαντά με τοῦ συμποσίου κατά τινα ἀγαθὴν τύχην Ἀκεσίλαος ὁ ἰατρὸς ἡμιθνῆτα – μᾶλλον δὲ αὐτόνεκρον – θεασάμενος, τοῖς μαθηταῖς ἐπέταττεν φοράδην ἀνελεῖν, καὶ ἤγαγεν ὡς ἑαυτὸν οἴκαδε καὶ ἀπερᾶν ἐπηνάγκασεν, ἔπειτα ῥυῆναι φλέβα διατεμὼν τὸ πολὺ τοῦ αἵματος ἐποίησεν, οὐδὲν ἂν ἐκώλυσεν ἀνεπαισθήτῳ με τῷ θανάτῳ διαφθαρέντα ἀπολωλέναι. Οἷα γάρ, οἷα οἱ λακκόπλουτοι εἰργάσαντό με ἄλλος ἄλλοθεν περιττὰ πίνειν καὶ πλείω ἢ κατὰ τὸ κύτος τῆς γαστρὸς ἐσθίειν ἀναγκάζοντες. Ὁ μὲν γὰρ ἀλλᾶντα ἐνέσαττεν, ὁ δὲ κόπαιον εὐμέγεθες παρώθει ταῖς γνάθοις, ὁ δὲ κρᾶμα, οὐκ οἶνον, ἀλλὰ νᾶπυ καὶ γάρον καὶ ὄξος κερασάμενος, καθάπερ εἰς πίθον ἐνέχει. Αὐτίκα λέβητας πιθάκνας ἀμίδας ἐμῶν ἀπεπλήρωσα, ὥστε αὐτὸν τὸν Ἀκεσίλαον θαυμάζειν ποῦ καὶ τίνα τρόπον ἐχώρησα τοσοῦτον βρωμάτων φορυτόν. Ἀλλ' ἐπειδὴ θεοὶ σωτῆρες καὶ ἀλεξίκακοι προὔπτου με κινδύνου φανερῶς ἐξείλοντο, ἐπ' ἐργασίαν τρέψομαι καὶ Πειραιεῖ βαδιοῦμαι τὰ ἐκ τῶν νεῶν φορτία ἐπὶ τὰς ἀποθήκας μισθοῦ μετατιθείς. Ἄμεινον γὰρ θύμοις καὶ ἀλφίτοις διαβόσκειν τὴν γαστέρα, ὁμολογουμένην ἔχοντα τὴν τοῦ ζῆν ἀσφάλειαν.

ALCIPHRON

[1] παρὰ τοὺς πλείονας : « auprès de la multitude », c'est-à-dire chez les morts.

VERSION GRECQUE

—

L'ÉDUCATION SPARTIATE

À la différence des autres Grecs, les Spartiates ne couvent pas leurs enfants, mais cherchent à les endurcir.

Τῶν μὲν τοίνυν ἄλλων Ἑλλήνων οἱ φάσκοντες κάλλιστα τοὺς υἱεῖς παιδεύειν, ἐπειδὰν τάχιστα αὐτοῖς οἱ παῖδες τὰ λεγόμενα ξυνιῶσιν, εὐθὺς μὲν ἐπ' αὐτοῖς παιδαγωγοὺς θεράποντας ἐφιστᾶσιν, εὐθὺς δὲ πέμπουσιν εἰς διδασκάλων μαθησομένους καὶ γράμματα καὶ μουσικὴν καὶ τὰ ἐν παλαίστρᾳ. Πρὸς δὲ τούτοις τῶν παίδων πόδας μὲν ὑποδήμασιν ἁπαλύνουσι, σώματα δὲ ἱματίων μεταβολαῖς διαθρύπτουσι· σίτου γε μὴν αὐτοῖς γαστέρα μέτρον νομίζουσιν. Ὁ δὲ Λυκοῦργος, ἀντὶ μὲν τοῦ ἰδίᾳ ἕκαστον παιδαγωγοὺς δούλους ἐφιστάναι, ἄνδρα ἐπέστησε κρατεῖν αὐτῶν ἐξ ὧνπερ αἱ μέγισται ἀρχαὶ καθίστανται, ὃς δὴ καὶ παιδονόμος καλεῖται, τοῦτον δὲ κύριον ἐποίησε καὶ ἁθροίζειν τοὺς παῖδας καὶ ἐπισκοποῦντα, εἴ τις ῥᾳδιουργοίη, ἰσχυρῶς κολάζειν. Ἔδωκε δ' αὐτῷ καὶ τῶν ἡβώντων μαστιγοφόρους, ὅπως τιμωροῖεν ὁπότε δέοι, ὥστε πολλὴν μὲν αἰδῶ, πολλὴν δὲ πειθὼ ἐκεῖ συμπαρεῖναι. Ἀντί γε μὴν τοῦ ἁπαλύνειν τοὺς πόδας ὑποδήμασιν ἔταξεν ἀνυποδησίᾳ κρατύνειν, νομίζων, εἰ τοῦτ' ἀσκήσειαν, πολὺ μὲν ῥᾷον ἂν ὀρθιάδε ἐκβαίνειν, ἀσφαλέστερον δὲ πρανῆ καταβαίνειν, καὶ πηδῆσαι δὲ καὶ ἀναθορεῖν καὶ δραμεῖν θᾶττον. Καὶ ἀντί γε τοῦ ἱματίοις διαθρύπτεσθαι ἐνόμιζεν ἑνὶ ἱματίῳ δι' ἔτους προσεθίζεσθαι, νομίζων οὕτως καὶ πρὸς ψύχη καὶ πρὸς θάλπη ἄμεινον ἂν παρεσκευάσθαι.

XÉNOPHON, *La République des Lacédémoniens*

TRADUCTION ET COMMENTAIRE D'UN TEXTE GREC

Vous traduirez les vers 275-289 avant de commenter l'ensemble du passage (vers 247-295).

DEUX DÉMAGOGUES SE BATTENT POUR LEUR PART DU GÂTEAU PUBLIC

Pour dénoncer le succès populaire du démagogue Cléon, représenté ici sous les traits d'un esclave paphlagonien, Aristophane lui oppose un individu encore plus crapuleux : un marchand de boudin. Au moment de la parodos, *le chœur formé de jeunes cavaliers athéniens surgit pour exhorter le marchand de boudin à se jeter contre le Paphlagonien.*

ΧΟΡΟΣ ΙΠΠΕΩΝ
Παῖε παῖε τὸν πανοῦργον καὶ ταραξιππόστρατον
καὶ τελώνην καὶ φάραγγα καὶ Χάρυβδιν ἁρπαγῆς,
καὶ πανοῦργον καὶ πανοῦργον· πολλάκις γὰρ αὔτ' ἐρῶ·
καὶ γὰρ οὗτος ἦν πανοῦργος πολλάκις τῆς ἡμέρας.
Ἀλλὰ παῖε καὶ δίωκε καὶ τάραττε καὶ κύκα
καὶ βδελύττου, καὶ γὰρ ἡμεῖς, κἀπικείμενος βόα·
εὐλαβοῦ δὲ μὴ 'κφύγῃ σε· καὶ γὰρ οἶδε τὰς ὁδούς,
ἅσπερ Εὐκράτης ἔφευγεν εὐθὺ τῶν κυρηβίων.

ΠΑΦΛΑΓΩΝ
Ὦ γέροντες ἡλιασταί, φράτερες τριωβόλου,
οὓς ἐγὼ βόσκω κεκραγὼς καὶ δίκαια κἄδικα,
παραβοηθεῖθ', ὡς ὑπ' ἀνδρῶν τύπτομαι ξυνωμοτῶν.

ΧΟΡΟΣ ΙΠΠΕΩΝ
Ἐν δίκῃ γ', ἐπεὶ τὰ κοινὰ πρὶν λαχεῖν κατεσθίεις,
κἀποσυκάζεις πιέζων τοὺς ὑπευθύνους σκοπῶν,
ὅστις αὐτῶν ὠμός ἐστιν ἢ πέπων ἢ μὴ πέπων.
Καὶ σκοπεῖς γε τῶν πολιτῶν ὅστις ἐστὶν ἀμνοκῶν,
πλούσιος καὶ μὴ πονηρὸς καὶ τρέμων τὰ πράγματα.
Κἄν τιν' αὐτῶν γνῷς ἀπράγμον' ὄντα καὶ κεχηνότα,
καταγαγὼν ἐκ Χερρονήσου, διαλαβὼν ἀγκυρίσας,
εἶτ' ἀποστρέψας τὸν ὦμον αὐτὸν ἐνεκολήβασας.

ΠΑΦΛΑΓΩΝ
Ξυνεπίκεισθ' ὑμεῖς; ἐγὼ δ', ἄνδρες, δι' ὑμᾶς τύπτομαι,
ὅτι λέγειν γνώμην ἔμελλον ὡς δίκαιον ἐν πόλει
ἱστάναι μνημεῖον ὑμῶν ἐστιν ἀνδρείας χάριν.

ΧΟΡΟΣ ΙΠΠΕΩΝ
Ὡς δ' ἀλαζών, ὡς δὲ μάσθλης. Εἶδες οἷ' ὑπέρχεται·
ὡσπερεὶ γέροντας ἡμᾶς ἐκκοβαλικεύεται.

ΠΑΦΛΑΓΩΝ
Ὦ πόλις καὶ δῆμ', ὑφ' οἵων θηρίων γαστρίζομαι.

ΟΙΚΕΤΗΣ Α΄
Καὶ κέκραγας, ὥσπερ ἀεὶ τὴν πόλιν καταστρέφει.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ
Ἀλλ' ἐὰν ταύτῃ γε νικᾷ, ταυτῃὶ πεπλήξεται·
ἢν δ' ὑπεκκλίνῃ γε, δευρὶ πρὸς σκέλος κυρηβάσει.

ΠΑΦΛΑΓΩΝ
Ἀλλ' ἐγώ σε τῇ βοῇ ταύτῃ γε πρῶτα τρέψομαι.

ΧΟΡΟΣ ΙΠΠΕΩΝ
Ἀλλ' ἐὰν μέντοι γε νικᾷς τῇ βοῇ, τήνελλά σοι·
ἢν δ' ἀναιδείᾳ παρέλθῃ σ', ἡμέτερος ὁ πυραμοῦς.

ΠΑΦΛΑΓΩΝ
Τουτονὶ τὸν ἄνδρ' ἐγὼ 'νδείκνυμι, καὶ φήμ' ἐξάγειν
ταῖσι Πελοποννησίων τριήρεσι ζωμεύματα.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ
Ναὶ μὰ Δία κἄγωγε τοῦτον, ὅτι κενῇ τῇ κοιλίᾳ
εἰσδραμὼν εἰς τὸ πρυτανεῖον, εἶτα πάλιν ἐκθεῖ πλέᾳ.

ΟΙΚΕΤΗΣ Α΄
Νὴ Δί', ἐξάγων γε τἀπόρρηθ', ἅμ' ἄρτον καὶ κρέας
καὶ τέμαχος, οὗ Περικλέης οὐκ ἠξιώθη πώποτε.

ΠΑΦΛΑΓΩΝ
Ἀποθανεῖσθον αὐτίκα μάλα.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ
Τριπλάσιον κεκράξομαί σου.

ΠΑΦΛΑΓΩΝ
Καταβοήσομαι βοῶν σε.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ
Κατακεκράξομαί σε κράζων.

ΠΑΦΛΑΓΩΝ
Διαβαλῶ σ', ἐὰν στρατηγῇς.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ
Κυνοκοπήσω σου τὸ νῶτον.

ΠΑΦΛΑΓΩΝ
Περιελῶ σ' ἀλαζονείαις.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
Ὑποτεμοῦμαι τὰς ὁδούς σου.

ΠΑΦΛΑΓΩΝ
Βλέψον εἴς μ' ἀσκαρδάμυκτος.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ
Ἐν ἀγορᾷ κἀγὼ τέθραμμαι.

ΠΑΦΛΑΓΩΝ
Διαφορήσω σ', εἴ τι γρύξεις.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ
Κοπροφορήσω σ', εἰ λαλήσεις.

LE CHŒUR DES CAVALIERS (*le chœur s'adresse au marchand de boudin*)
Cogne, cogne la canaille, la bête noire des cavaliers, le grigou du fisc, le gouffre, la Charybde des rapines, la canaille, la canaille – je le répéterai cent fois, car cet individu est canaille cent fois par jour. Allez, cogne, poursuis, étrille, disloque, vomis-le, tout comme nous, fonce-lui dessus à grands cris. Prends garde ! Qu'il ne te file pas entre les mains : c'est qu'il connaît les passages par où Eucratès filait tout droit dans ses balles de son[1] !
LE PAPHLAGONIEN (*au public*)
Vénérables membres du tribunal, confrères du triobole[2], vous que j'engraisse, moi, à force de brailler à tort ou à raison, au secours ! Je suis rossé par des conspirateurs.
LE CHŒUR DES CAVALIERS (*au Paphlagonien*)
Et c'est bien mérité, puisque tu dévores les biens de l'État[3] avant même d'être tiré au sort, que tu presses et fais juter comme des figues ceux dont on épluche la gestion pour chercher celui qui parmi eux est encore vert, déjà mûr, ou pas assez. Et tu cherches parmi les citoyens le pauvre bêta, bien riche, pas méchant, celui qui a peur des histoires. Et si tu en repères un sans histoires, bien ahuri, tu le fais revenir de loin, tu l'empoignes à bras-le-corps, ensuite un croche-pied, une torsion d'épaule, et tu n'en fais qu'une bouchée !
LE PAPHLAGONIEN (*aux cavaliers*)
Vous aussi, vous me foncez dessus ? Mais moi, Messieurs, je suis rossé par votre faute, parce que j'allais proposer une motion, comme quoi vous méritez bien qu'on érige sur l'Acropole un monument en l'honneur de votre bravoure.
LE CHŒUR DES CAVALIERS
Ah le charlatan ! Le roublard ! Tu as vu comme il rampe ! Il nous prend pour des gâteux, à nous emberlificoter comme ça !
LE PAPHLAGONIEN
Ô cité, ô peuple, quelles brutes me bourrent le ventre !
LE PREMIER SERVITEUR
Et tu brailles, c'est toujours de cette façon que tu mets la cité à l'envers.
LE MARCHAND DE BOUDIN
Alors moi, si c'est sur ce terrain-là qu'il entend gagner (*il lève le poing*), c'est sur ce terrain-là qu'il va encaisser ; et s'il se baisse pour esquiver, c'est ici, sur ma jambe, qu'il viendra buter.

LE PAPHLAGONIEN
Je t'encerclerai à coups de charlataneries !
LE MARCHAND DE BOUDIN
Je te couperai la route !
LE PAPHLAGONIEN
Regarde-moi sans cligner des yeux !
LE MARCHAND DE BOUDIN (*le fixant du regard, nez à nez*)
Moi aussi, j'ai grandi sur le trottoir.
LE PAPHLAGONIEN
Ouvre ton clapet, et je te réduis en purée.
LE MARCHAND DE BOUDIN
Continue à jaser, et je te réduis en purin.

ARISTOPHANE, *Les Cavaliers,* v. 247-295

---

[1] Allusion obscure à l'actualité politique : Eucratès, chef du parti populaire, retournait sans doute à son travail de meunier dès lors qu'il connaissait des déboires en politique.

[2] Peu avant, Cléon a fait porter à trois oboles le montant de l'indemnité versée aux juges.

[3] Cléon vient d'obtenir le droit d'être entretenu au Prytanée, aux frais de l'État.

VERSION GRECQUE

Il n'y a pas d'âge pour monter au front

Le vieux Iolaos, jadis compagnon d'armes d'Héraclès, décide malgré son grand âge de participer à la bataille qui doit décider du sort de ses protégés, les enfants d'Héraclès, poursuivis par l'armée d'Eurysthée et défendus par les Athéniens. Un serviteur l'aide à se préparer.

ΘΕΡΑΠΩΝ Ὅπλων μὲν ἤδη τήνδ' ὁρᾷς παντευχίαν,
φθάνοις δ' ἂν οὐκ ἂν τοῖσδε σὸν κρύπτων δέμας·
ὡς ἐγγὺς ἀγὼν καὶ μάλιστ' Ἄρης στυγεῖ
μέλλοντας· εἰ δὲ τευχέων φοβῇ βάρος,
νῦν μὲν πορεύου γυμνός, ἐν δὲ τάξεσιν
κόσμῳ πυκάζου τῷδ'· ἐγὼ δ' οἴσω τέως.

ΙΟΛΑΟΣ Καλῶς ἔλεξας· ἀλλ' ἐμοὶ πρόχειρ' ἔχων
τεύχη κόμιζε, χειρὶ δ' ἔνθες ὀξύην,
λαιόν τ' ἔπαιρε πῆχυν, εὐθύνων πόδα.

ΘΕ. Ἦ παιδαγωγεῖν γὰρ τὸν ὁπλίτην χρεών ;

ΙΟ. Ὄρνιθος οὕνεκ' ἀσφαλῶς πορευτέον[1].

ΘΕ. Εἴθ' ἦσθα δυνατὸς δρᾶν ὅσον πρόθυμος εἶ.

ΙΟ. Ἔπειγε· λειφθεὶς δεινὰ πείσομαι μάχης.

ΘΕ. Σύ τοι βραδύνεις, οὐκ ἐγώ, δοκῶν τι δρᾶν.

ΙΟ. Οὔκουν ὁρᾷς μου κῶλον ὡς ἐπείγεται ;

ΘΕ. Ὁρῶ δοκοῦντα μᾶλλον ἢ σπεύδοντά σε.

ΙΟ. Οὐ ταῦτα λέξεις ἡνίκ' ἂν λεύσσῃς μ' ἐκεῖ ...

ΘΕ. Τί δρῶντα ; βουλοίμην δ' ἂν εὐτυχοῦντά γε.

ΙΟ. Δι' ἀσπίδος θείνοντα πολεμίων τινά.

ΘΕ. Εἰ δή ποθ' ἥξομέν γε· τοῦτο γὰρ φόβος.

ΙΟ. Φεῦ·
εἴθ', ὦ βραχίων, οἷον ἡβήσαντά σε
μεμνήμεθ' ἡμεῖς, ἡνίκα ξὺν Ἡρακλεῖ
Σπάρτην ἐπόρθεις, σύμμαχος γένοιό μοι
τοιοῦτος· οἵαν ἂν τροπὴν Εὐρυσθέως
θείμην· ἐπεί τοι καὶ κακὸς μένειν δόρυ.

EURIPIDE

[1] Faire un faux pas est considéré comme un mauvais présage.

VERSION GRECQUE

Les signes extérieurs de richesse sont méprisables

À un homme dont la maison était opulente mais qui n'avait pas cultivé son esprit, le philosophe Diogène donna une leçon humiliante. Galien utilise l'anecdote pour mieux convaincre un jeune homme d'apprendre un art (la médecine, par exemple).

Ὁ Διογένης ἑστιώμενος παρά τινι τῶν μὲν ἑαυτοῦ πάντων ἀκριβῶς προνενοημένῳ, μόνου δ' ἑαυτοῦ παντάπασιν ἠμεληκότι, χρεμψάμενος ὡς πτύσων, εἶτ' ἐν κύκλῳ περισκοπήσας εἰς οὐδὲν μὲν τῶν πέριξ ἔπτυσεν, αὐτῷ δὲ μόνῳ προσέπτυσε τῷ δεσπότῃ τῆς οἰκίας· ἀγανακτοῦντος δ' αὐτοῦ καὶ τὴν αἰτίαν ἐρωτῶντος οὐδὲν ἔφησεν ὁρᾶν οὕτως ἠμελημένον τῶν κατὰ τὴν οἰκίαν ὡς ἐκεῖνον. Τοὺς γὰρ τοίχους ἅπαντας ἀξιολόγοις γραφαῖς κεκοσμῆσθαι, τὸ δ' ἔδαφος ἐκ ψήφων πολυτελῶν συγκεῖσθαι θεῶν εἰκόνας ἔχον θαυμαστῶς διατετυπωμένας, ἅπαντά τε τὰ σκεύη λαμπρὰ καὶ καθαρὰ καὶ τὰς στρωμνὰς καὶ τὰς κλίνας εἰς κάλλος ἐξησκῆσθαι· μόνον δ' ἐκεῖνον ὁρᾶν ἠμελημένον, εἰθίσθαι δ' ἅπασιν ἀνθρώποις εἰς τοὺς ἀτιμοτάτους τῶν παρόντων τόπων ἀποπτύειν. Μὴ τοίνυν ἐάσῃς, ὦ μειράκιον, ἄξιον τοῦ προσπτύεσθαι γενέσθαι σεαυτόν, μηδ' ἂν ἅπαντά σοι τἄλλα κάλλιστα διακεῖσθαι δοκῇ· σπάνιον μὲν γάρ ἐστι καὶ τὸ τυχεῖν αὐτῶν ὁμοῦ πάντων, ὡς εὐγενῆ τε καὶ πλούσιον εἶναι καὶ καλὸν ἅμα τὸν αὐτόν· εἰ δ' ἄρα καὶ συνέλθοι ποτέ, δεινὸν ἂν εἴη μόνον ἐν ἅπασι τοῖς ὑπάρχουσιν αὐτὸν κατάπτυστον εἶναι.

GALIEN

Remarque

Le verbe χρέμπτομαι (χρεμψάμενος, ligne 2) signifie « se râcler la gorge ».

TRADUCTION ET COMMENTAIRE D'UN TEXTE GREC

Vous traduirez l'extrait des lignes 17 à 24 et commenterez l'ensemble du texte.

CYRUS DANS LA BATAILLE

Lancé avec ses troupes à la conquête de la Lydie, le Perse Cyrus affronte les Lydiens dont l'armée est renforcée par un bataillon égyptien.

Οἱ δὲ Πέρσαι οὐκ ἐδύναντο ἀντέχειν, ἅτε ἐν ἄκραις ταῖς χερσὶ τὰ γέρρα ἔχοντες, ἀλλ' ἐπὶ πόδα ἀνεχάζοντο παίοντες καὶ παιόμενοι, ἕως ὑπὸ ταῖς μηχαναῖς[1] ἐγένοντο. Ἐπεὶ μέντοι ἐνταῦθα ἦλθον, ἐπαίοντο αὖθις οἱ Αἰγύπτιοι ἀπὸ τῶν πύργων· καὶ οἱ ἐπὶ πᾶσι δὲ οὐκ εἴων φεύγειν οὔτε τοὺς τοξότας οὔτε τοὺς ἀκοντιστάς, ἀλλ' ἀνατεταμένοι τὰς μαχαίρας ἠνάγκαζον καὶ τοξεύειν καὶ ἀκοντίζειν. Ἦν δὲ πολὺς μὲν ἀνδρῶν φόνος, πολὺς δὲ κτύπος ὅπλων καὶ βελῶν παντοδαπῶν, πολλὴ δὲ βοὴ τῶν μὲν ἀνακαλούντων ἀλλήλους, τῶν δὲ παρακελευομένων, τῶν δὲ θεοὺς ἐπικαλουμένων.

Ἐν δὲ τούτῳ Κῦρος διώκων τοὺς καθ' αὐτὸν παραγίγνεται. Ὡς δ' εἶδε τοὺς Πέρσας ἐκ τῆς χώρας ἐωσμένους, ἤλγησέ τε καὶ γνοὺς ὅτι οὐδαμῶς ἂν θᾶττον σχοίη τοὺς πολεμίους τῆς εἰς τὸ πρόσθεν προόδου ἢ εἰ εἰς τὸ ὄπισθεν περιελάσειεν αὐτῶν, παραγγείλας ἕπεσθαι τοῖς μεθ' αὑτοῦ περιήλαυνεν εἰς τὸ ὄπισθεν· καὶ εἰσπεσόντες παίουσιν ἀφορῶντας καὶ πολλοὺς κατακαίνουσιν. Οἱ δὲ Αἰγύπτιοι ὡς ᾔσθοντο, ἐβόων τε ὅτι ὄπισθεν οἱ πολέμιοι καὶ ἐστρέφοντο ἐν ταῖς πληγαῖς. Καὶ ἐνταῦθα δὴ φύρδην ἐμάχοντο καὶ πεζοὶ καὶ ἱππεῖς, πεπτωκὼς δέ τις ὑπὸ τῷ Κύρου ἵππῳ καὶ πατούμενος παίει εἰς τὴν γαστέρα τῇ μαχαίρᾳ τὸν ἵππον αὐτοῦ· ὁ δὲ ἵππος πληγεὶς σφαδάζων ἀποσείεται τὸν Κῦρον. Ἔνθα δὴ ἔγνω ἄν τις ὅσου ἄξιον εἴη τὸ φιλεῖσθαι ἄρχοντα ὑπὸ τῶν περὶ αὐτόν. Εὐθὺς γὰρ ἀνεβόησάν τε πάντες καὶ προσπεσόντες ἐμάχοντο· ἐώθουν, ἐωθοῦντο, ἔπαιον, ἐπαίοντο. Καταπηδήσας δέ τις ἀπὸ τοῦ ἵππου τῶν τοῦ Κύρου ὑπηρετῶν ἀναβάλλει αὐτὸν ἐπὶ τὸν ἑαυτοῦ ἵππον.

Ὡς δ' ἀνέβη ὁ Κῦρος, κατεῖδε πάντοθεν ἤδη παιομένους τοὺς Αἰγυπτίους· καὶ γὰρ Ὑστάσπας ἤδη παρῆν σὺν τοῖς Περσῶν ἱππεῦσι καὶ Χρυσάντας[2]. Ἀλλὰ τούτους ἐμβάλλειν μὲν οὐκέτι εἴα εἰς τὴν φάλαγγα τῶν Αἰγυπτίων, ἔξωθεν δὲ τοξεύειν καὶ ἀκοντίζειν ἐκέλευεν. Ὡς δ' ἐγένετο περιελαύνων παρὰ τὰς μηχανάς, ἔδοξεν αὐτῷ ἀναβῆναι ἐπὶ τῶν πύργων τινὰ καὶ κατασκέψασθαι εἴ πῃ καὶ ἄλλο τι μένοι τῶν πολεμίων καὶ μάχοιτο. Ἐπεὶ δὲ ἀνέβη, κατεῖδε μεστὸν τὸ πεδίον ἵππων, ἀνθρώπων, ἁρμάτων, φευγόντων, διωκόντων, κρατούντων, κρατουμένων· μένον δ' οὐδαμοῦ οὐδὲν ἔτι ἐδύνατο κατιδεῖν πλὴν τὸ τῶν Αἰγυπτίων· οὗτοι δὲ ἐπειδὴ ἠποροῦντο, πάντοθεν κύκλον ποιησάμενοι, ὥστε ὁρᾶσθαι τὰ ὅπλα, ὑπὸ ταῖς ἀσπίσιν ἐκάθηντο· καὶ ἐποίουν μὲν οὐδὲν ἔτι, ἔπασχον δὲ πολλὰ καὶ δεινά.

Ἀγασθεὶς δὲ ὁ Κῦρος αὐτοὺς καὶ οἰκτίρων ὅτι ἀγαθοὶ ἄνδρες ὄντες ἀπώλλυντο, ἀνεχώρισε πάντας τοὺς περιμαχομένους καὶ μάχεσθαι οὐδένα ἔτι εἴα.

XÉNOPHON, *Cyropédie*

[1] Cyrus a doté son armée de différentes machines de guerre, au nombre desquelles figurent des tours mobiles.
[2] Hystaspe et Chrysantas : Perses chargés du commandement de la cavalerie de Cyrus.

VERSION GRECQUE

Héraclès peut-il hériter de son père?

À la tête de la nouvelle cité des oiseaux, Peishétairos exige des Olympiens la souveraineté universelle. Trois dieux, dont Poséidon et son neveu Héraclès, viennent en délégation pour négocier.

ΠΟΣΕΙΔΩΝ	Τί δαὶ ποιῶμεν ;
ΗΡΑΚΛΗΣ	Ὅ τι ; διαλλαττώμεθα.
ΠΟΣΕΙΔΩΝ	Τί, ᾠζύρ' ; Οὐκ οἶσθ' ἐξαπατώμενος πάλαι ; Βλάπτεις δέ τοι σὺ σαυτόν. Ἢν γὰρ ἀποθάνῃ ὁ Ζεὺς παραδοὺς τούτοισι[1] τὴν τυραννίδα, πένης ἔσει σύ· σοῦ γὰρ ἅπαντα γίγνεται τὰ χρήμαθ', ὅσ' ἂν ὁ Ζεὺς ἀποθνῄσκων καταλίπῃ.
ΠΕΙΣΕΤΑΙΡΟΣ	Οἴμοι τάλας, οἷόν σε περισοφίζεται. Δεῦρ' ὡς ἔμ' ἀποχώρησον, ἵνα τί σοι φράσω. Διαβάλλεταί σ' ὁ θεῖος, ὦ πόνηρε σύ. Τῶν γὰρ πατρῴων οὐδ' ἀκαρῆ μέτεστί σοι κατὰ τοὺς νόμους· νόθος γὰρ εἶ κοὐ γνήσιος.
ΗΡΑΚΛΗΣ	Ἐγὼ νόθος ; Τί λέγεις ;
ΠΕΙΣΕΤΑΙΡΟΣ	Σὺ μέντοι νὴ Δία ὤν γ' ἐκ ξένης γυναικός. Ἢ πῶς ἄν ποτε ἐπίκληρον εἶναι τὴν Ἀθηναίαν δοκεῖς, οὖσαν θυγατέρ', ὄντων ἀδελφῶν γνησίων ;
ΗΡΑΚΛΗΣ	Τί δ' ἢν ὁ πατὴρ ἐμοὶ διδῷ τὰ χρήματα νοθεῖ' ἀποθνῄσκων ;
ΠΕΙΣΕΤΑΙΡΟΣ	Ὁ νόμος αὐτὸν οὐκ ἐᾷ. Οὗτος ὁ Ποσειδῶν πρῶτος, ὃς ἐπαίρει σε νῦν, ἀνθέξεταί σου τῶν πατρῴων χρημάτων, φάσκων ἀδελφὸς αὐτὸς εἶναι γνήσιος. Ἐρῶ δὲ δὴ καὶ τὸν Σόλωνός σοι νόμον· « Νόθῳ δὲ μὴ εἶναι ἀγχιστείαν παίδων ὄντων γνησίων· ἐὰν δὲ παῖδες μὴ ὦσι γνήσιοι, τοῖς ἐγγυτάτω γένους μετεῖναι τῶν χρημάτων. »
ΗΡΑΚΛΗΣ	Ἐμοὶ δ' ἄρ' οὐδὲν τῶν πατρῴων χρημάτων μέτεστιν ;
ΠΕΙΣΕΤΑΙΡΟΣ	Οὐ μέντοι μὰ Δία.

ARISTOPHANE

[1] Le pronom τούτοισι désigne les oiseaux.

VERSION GRECQUE

INVINCIBLE APHRODITE

Face à Ménélas, qui a remis la main sur elle, Hélène cherche à se disculper et commence par invoquer la puissance d'Aphrodite, toujours prompte à servir Pâris-Alexandre, son protégé.

Ἦλθ' οὐχὶ μικρὰν θεὸν ἔχων αὐτοῦ μέτα
ὁ τῆσδ' [1] ἀλάστωρ, εἴτ' Ἀλέξανδρον θέλεις
ὀνόματι προσφωνεῖν νιν εἴτε καὶ Πάριν ·
ὅν, ὦ κάκιστε, σοῖσιν ἐν δόμοις λιπὼν
Σπάρτης ἀπῆρας νηὶ Κρησίαν χθόνα.
Εἶεν.
Οὐ σ', ἀλλ' ἐμαυτὴν τοὐπὶ τῷδ' [2] ἐρήσομαι ·
τί δὴ φρονοῦσά γ' ἐκ δόμων ἅμ' ἑσπόμην
ξένῳ, προδοῦσα πατρίδα καὶ δόμους ἐμούς ;
Τὴν θεὸν κόλαζε καὶ Διὸς κρείσσων γενοῦ,
ὃς τῶν μὲν ἄλλων δαιμόνων ἔχει κράτος,
κείνης δὲ δοῦλός ἐστι · συγγνώμη δ' ἐμοί.
Ἔνθεν δ' ἔχοις ἂν εἰς ἔμ' εὐπρεπῆ λόγον ·
ἐπεὶ θανὼν γῆς ἦλθ' Ἀλέξανδρος μυχούς,
χρῆν μ', ἡνίκ' οὐκ ἦν θεοπόνητά μου λέχη,
λιποῦσαν οἴκους ναῦς ἐπ' Ἀργείων μολεῖν.
Ἔσπευδον αὐτὸ τουτο · μάρτυρες δέ μοι
πύργων πυλωροὶ κἀπὸ τειχέων σκοποί,
οἳ πολλάκις μ' ἐφηῦρον ἐξ ἐπάλξεων
πλεκταῖσιν ἐς γῆν σῶμα κλέπτουσαν τόδε.
Πῶς οὖν ἔτ' ἂν θνήσκοιμ' ἂν ἐνδίκως, πόσι,
πρὸς σοῦ δικαίως ;

EURIPIDE

---

[1] τῆσδε : ce démonstratif désigne Hécube.

[2] τοὐπὶ τῷδε : comprenez « la question suivante ».

TRADUCTION ET COMMENTAIRE D'UN TEXTE GREC

Vous traduirez le deuxième paragraphe du texte (lignes 17-26) avant de commenter l'ensemble du passage.

UN BEAU PARTI

Fort du récit que lui a fait un prêtre égyptien, le narrateur prétend que Pâris Alexandre n'a pas enlevé Hélène, comme le prétend Homère : il a demandé très officiellement sa main à son père Tyndare, en même temps qu'Agamemnon le faisait pour son frère Ménélas.

Ἐλθόντα δὲ μετὰ πολλοῦ πλούτου καὶ παρασκευῆς ὡς ἐπὶ μνηστείαν, καὶ διαφέροντα κάλλει, εἰς λόγους αὐτὸν καταστῆναι[1] Τυνδάρεῳ τε καὶ τοῖς ἀδελφοῖς τῆς Ἑλένης, λέγοντα περὶ τῆς ἀρχῆς τῆς Πριάμου καὶ τῶν χρημάτων τοῦ πλήθους καὶ τῆς ἄλλης δυνάμεως, καὶ ὅτι αὐτοῦ γίγνοιτο ἡ βασιλεία· τὸν δὲ Μενέλαον ἰδιώτην ἔφη εἶναι· τοῖς γὰρ Ἀγαμέμνονος παισίν, ἀλλ' οὐκ ἐκείνῳ τὴν ἀρχὴν προσήκειν· καὶ ὡς θεοφιλὴς εἴη καὶ ὡς ἡ Ἀφροδίτη αὐτῷ ὑπόσχοιτο τὸν ἄριστον γάμον τῶν ἐν ἀνθρώποις· αὐτὸς οὖν προκρῖναι τὴν ἐκείνου θυγατέρα, ἐξὸν αὐτῷ λαβεῖν ἐκ τῆς Ἀσίας τινά, εἰ βούλοιτο, εἴτε τοῦ Αἰγυπτίων βασιλέως εἴτε τοῦ Ἰνδῶν. Τῶν μὲν γὰρ ἄλλων ἁπάντων ἔλεγεν αὐτὸς ἄρχειν ἀρξάμενος ἀπὸ Τροίας μέχρι Αἰθιοπίας· καὶ γὰρ Αἰθιόπων βασιλεύειν τὸν αὐτοῦ ἀνεψιὸν Μέμνονα, ἐκ Τιθωνοῦ ὄντα τοῦ Πριάμου ἀδελφοῦ. Καὶ ἄλλα πολλὰ ἔλεγεν ἐπαγωγά, καὶ δῶρα ἐδίδου τῇ τε Λήδᾳ καὶ τοῖς ἄλλοις τοῖς προσήκουσιν, ὅσα οὐδὲ ξύμπαντες οἱ Ἕλληνες ἐδύναντο. Ἔφη δὲ καὶ ξυγγενὴς εἶναι τῆς Ἑλένης καὶ αὐτός· ἀπὸ γὰρ Διὸς εἶναι τὸν Πρίαμον· πυνθάνεσθαι δὲ κἀκείνους καὶ τὴν ἀδελφὴν αὐτῶν Διὸς ὄντας. Τῷ δὲ Ἀγαμέμνονι καὶ τῷ Μενελάῳ μὴ προσήκειν ὀνειδίζειν αὐτῷ τὴν πατρίδα· καὶ γὰρ αὐτοὺς εἶναι Φρύγας ἀπὸ Σιπύλου[2]. Πολὺ δὴ κρεῖττον τοῖς βασιλεῦσι κηδεύειν τῆς Ἀσίας ἢ τοῖς ἐκεῖθεν μετανάσταις. Καὶ γὰρ Λαομέδοντα Τελαμῶνι δοῦναι τὴν ἑαυτοῦ θυγατέρα Ἡσιόνην[3]· ἐλθεῖν γὰρ αὐτὸν εἰς Τροίαν μνηστῆρα, ἄγειν δὲ καὶ τὸν Ἡρακλέα φίλον ὄντα καὶ ξένον Λαομέδοντι. Πρὸς οὖν ταῦτα ὁ Τυνδάρεως ἐβουλεύετο μετὰ τῶν παίδων.

Καὶ ἐδόκει αὐτοῖς σκοποῦσιν οὐ χεῖρον εἶναι προσλαβεῖν τοὺς ἐκ τῆς Ἀσίας βασιλέας. Τὴν μὲν γὰρ Πελοπιδῶν οἰκίαν ἔχειν Κλυταιμνήστραν συνοικοῦσαν Ἀγαμέμνονι· λοιπὸν δέ, εἰ Πριάμῳ κηδεύσειαν, καὶ τῶν ἐκεῖ πραγμάτων κρατεῖν καὶ μηδένα αὐτοὺς κωλύειν τῆς Ἀσίας καὶ τῆς Εὐρώπης ἄρχειν ἁπάσης. Πρὸς δὲ ταῦτα ἠγωνίζετο μὲν ὁ Ἀγαμέμνων, ἡττᾶτο δὲ τοῖς δικαίοις. Ἔφη γὰρ ὁ Τυνδάρεως ἱκανὸν εἶναι αὐτῷ κηδεύσαντι· καὶ ἅμα ἐδίδασκεν ὅτι οὐδὲ συμφέροι τὸν ἀδελφὸν αὐτοῦ τυγχάνειν τῶν ἴσων· οὕτω γὰρ μᾶλλον ἐπιβουλεύσειν· οὐδὲ γὰρ Ἀτρεῖ Θυέστην εὔνουν γενέσθαι. Μάλιστα δ' ἔπειθε λέγων ὅτι οὐκ ἀνέξονται οἱ ἄλλοι μνηστῆρες τῶν Ἑλλήνων ἀποτυχόντες, οὔτε Διομήδης οὔτε Ἀντίλοχος οὔτε Ἀχιλλεύς, ἀλλὰ πολεμήσουσι· καὶ ὅτι κινδυνεύσει τοὺς δυνατωτάτους ποιῆσαι τῶν Ἑλλήνων πολεμίους. Κρεῖττον οὖν εἶναι μὴ καταλιπεῖν ἀρχὴν πολέμου καὶ στάσεως ἐν τοῖς Ἕλλησι.

Τὸν δὲ ἄχθεσθαι μέν, οὐκ ἔχειν δὲ ὅπως κωλύσῃ τὸν Τυνδάρεων· κύριον γὰρ εἶναι τῆς αὑτοῦ θυγατρός· καὶ ἅμα φοβεῖσθαι τοὺς παῖδας αὐτοῦ. Καὶ οὕτως δὴ λαβεῖν Ἀλέξανδρον τὴν Ἑλένην ἐκ τοῦ δικαίου.

DION DE PRUSE, *Ilion n'a pas été prise*

---

[1] Le pronom αὐτόν, sujet de cette proposition infinitive, désigne le prince Pâris Alexandre : ce sont les propos du prêtre égyptien qui sont ici rapportés.

[2] En tant que descendants de Tantale, ils avaient des liens avec l'Asie Mineure.

[3] Furieux contre Laomédon, roi de Troie, Héraclès avait pris la cité et donné Hésioné comme butin au Grec Télamon. Pour appuyer son argumentation, Alexandre réécrit cet épisode mythique dont il présente une version pacifique.

VERSION GRECQUE

CONTROVERSE AUTOUR D'UNE AGRESSION À DOMICILE

L'origine de la querelle entre le plaideur et son adversaire, Simon, est une rivalité amoureuse pour un jeune homme. Victime des violences et du harcèlement de Simon, le plaideur s'est abstenu de riposter et a préféré s'éloigner d'Athènes un certain temps, avec son jeune compagnon, pour éviter le scandale. Mais à son retour, Simon a déposé une plainte pour « coups et blessures avec préméditation et intention de tuer ».

Λέγει δ' ὡς ἡμεῖς[1] ἤλθομεν ἐπὶ τὴν οἰκίαν τὴν τούτου ὄστρακον ἔχοντες, καὶ ὡς ἠπείλουν αὐτῷ ἐγὼ ἀποκτενεῖν, καὶ ὡς τοῦτό ἐστιν ἡ πρόνοια. Ἐγὼ δ' ἡγοῦμαι, ὦ βουλή, ῥᾴδιον εἶναι γνῶναι ὅτι ψεύδεται, οὐ μόνον ὑμῖν τοῖς εἰωθόσι σκοπεῖσθαι περὶ τῶν τοιούτων, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασι. Τῷ γὰρ ἂν δόξειε πιστὸν ὡς ἐγὼ προνοηθεὶς καὶ ἐπιβουλεύων ἦλθον ἐπὶ τὴν Σίμωνος οἰκίαν μεθ' ἡμέραν, μετὰ τοῦ μειρακίου, τοσούτων ἀνθρώπων παρ' αὐτῷ συνειλεγμένων, εἰ μὴ εἰς τοῦτο μανίας ἀφικόμην ὥστε ἐπιθυμεῖν εἷς ὢν πολλοῖς μάχεσθαι, ἄλλως τε καὶ εἰδὼς ὅτι ἀσμένως ἄν με εἶδεν ἐπὶ ταῖς θύραις ταῖς αὑτοῦ, ὃς καὶ ἐπὶ τὴν ἐμὴν οἰκίαν φοιτῶν εἰσῄει βίᾳ, καὶ οὔτε τῆς ἀδελφῆς οὔτε τῶν ἀδελφιδῶν φροντίσας ζητεῖν με ἐτόλμα, καὶ ἐξευρὼν οὗ δειπνῶν ἐτύγχανον, ἐκκαλέσας ἔτυπτέ με ; Καὶ τότε μὲν ἄρα, ἵνα μὴ περιβόητος εἴην, ἡσυχίαν ἦγον, συμφορὰν ἐμαυτοῦ νομίζων τὴν τούτου πονηρίαν · ἐπειδὴ δὲ χρόνος διεγένετο, πάλιν, ὡς οὗτός φησιν, ἐπεθύμησα περιβόητος γενέσθαι ; Καὶ εἰ μὲν ἦν παρὰ τούτῳ τὸ μειράκιον, εἶχεν ἄν τινα λόγον τὸ ψεῦδος αὐτῷ ὡς ἐγὼ διὰ τὴν ἐπιθυμίαν ἠναγκαζόμην ἀνοητότερόν τι ποιεῖν τῶν εἰκότων · νῦν δὲ τούτῳ οὐδὲ διελέγετο.

LYSIAS

[1] Le pronom renvoie au plaideur et à son jeune compagnon. Le sujet du verbe λέγει est Simon, l'accusateur.

Version grecque

Obtenir des indiscrétions, c'est tout un art !

Lykinos et Dionikos ont participé à un banquet où se pressaient des philosophes et qui s'est terminé en pugilat. Le lendemain, Philon exhorte son ami Lykinos à lui raconter l'affaire, mais l'intéressé se fait prier.

ΛΥΚΙΝΟΣ — Νεανικώτερα ἡμᾶς, ὦ Φίλων, ἀξιοῖς ἐκφέρειν ταῦτα πρὸς τοὺς πολλοὺς καὶ ἐπεξιέναι διηγουμένους πράγματα ἐν οἴνῳ καὶ μέθῃ γενόμενα, δέον λήθην ποιήσασθαι αὐτῶν καὶ νομίζειν ἐκεῖνα πάντα θεοῦ ἔργα τοῦ Διονύσου εἶναι, ὃς οὐκ οἶδα εἴ τινα τῶν αὐτοῦ ὀργίων ἀτέλεστον καὶ ἀβάκχευτον περιεῖδεν. Ὅρα οὖν μὴ κακοήθων τινῶν ἀνθρώπων ᾖ τὸ ἀκριβῶς τὰ τοιαῦτα ἐξετάζειν, ἃ καλῶς ἔχει ἐν τῷ συμποσίῳ καταλιπόντας ἀπαλλάττεσθαι. Μισῶ γάρ, φησὶ καὶ ὁ ποιητικὸς λόγος, μνάμονα συμπόταν. Καὶ οὐδὲ ὁ Διόνικος ὀρθῶς ἐποίησε πρὸς τὸν Χαρῖνον ταῦτα ἐξαγορεύσας καὶ πολλὴν τὴν ἑωλοκρασίαν κατασκεδάσας ἀνδρῶν φιλοσόφων. Ἐγὼ δέ, ἄπαγε, οὐκ ἄν τι τοιοῦτον εἴποιμι.

ΦΙΛΩΝ — Θρύπτῃ ταῦτα, ὦ Λυκῖνε. Ἀλλ' οὔτι γε πρὸς ἐμὲ οὕτως ποιεῖν ἐχρῆν, ὃς ἀκριβῶς πολὺ πλέον ἐπιθυμοῦντά σε εἰπεῖν οἶδα ἢ ἐμὲ ἀκοῦσαι, καί μοι δοκεῖς, εἰ ἀπορήσειας τῶν ἀκουσομένων, κἂν πρὸς κίονά τινα ἢ πρὸς ἀνδριάντα ἡδέως ἂν προσελθὼν ἐκχέαι πάντα συνείρων ἀπνευστί. Εἰ γοῦν ἐθελήσω ἀπαλλάττεσθαι νῦν, οὐκ ἐάσεις με ἀνήκοον ἀπελθεῖν, ἀλλ' ἕξεις καὶ παρακολουθήσεις καὶ δεήσῃ. Κἀγὼ θρύψομαι πρὸς σὲ ἐν τῷ μέρει · καί, εἴ γε δοκεῖ, ἀπίωμεν ἄλλου αὐτὰ πευσόμενοι, σὺ δὲ μὴ λέγε.

ΛΥ. — Μηδὲν πρὸς ὀργήν · διηγήσομαι γάρ, ἐπείπερ οὕτως προθυμῇ, ἀλλ' ὅπως μὴ πρὸς πολλοὺς ἐρεῖς.

Lucien

TRADUCTION ET COMMENTAIRE D'UN TEXTE GREC

Vous traduirez le texte grec qui n'est pas encore traduit (v. 21 à 32) avant de commenter l'ensemble du passage (v. 1 à 45).

VERS LA FIN D'UNE LONGUE ERRANCE ?

Guidé par Antigone, le vieil Œdipe arrive après de longues années d'exil à l'orée du bois de Colone, non loin d'Athènes.

ŒDIPE. Fille d'un vieil aveugle, Antigone, où sommes-nous arrivés ? De quel peuple est-ce la cité ? Qui accordera aujourd'hui à Œdipe vagabond quelque misérable aumône ? Je demande peu, j'obtiens moins encore — et cependant assez pour moi : mes épreuves et les longs jours que j'ai vécus m'apprennent à ne pas être exigeant ; ma fierté fait le reste. Allons ! ma fille, si tu vois un endroit où je puisse m'asseoir, soit en terre profane, soit dans un enclos sacré, arrête-moi et installe-moi là, afin que nous nous informions de l'endroit où nous pouvons bien être. Notre lot est de nous instruire, étrangers que nous sommes, auprès des habitants d'ici et d'exécuter ce qu'ils nous diront.

ANTIGONE. Mon pauvre père, Œdipe, il y a des remparts qui protègent une ville, si j'en crois mes yeux, là-bas au loin. Ici, nous nous trouvons dans un lieu consacré. On ne peut s'y tromper : il abonde en lauriers, en oliviers, en vignes, et, sous ce feuillage, un monde ailé de rossignols fait entendre des chants mélodieux. Repose-toi ici sur cette pierre rugueuse. Pour un vieillard, c'est une longue étape que tu viens d'accomplir.

ΟΙΔΙΠΟΥΣ. Τέκνον τυφλοῦ γέροντος, Ἀντιγόνη, τίνας
χώρους ἀφίγμεθ' ἢ τίνων ἀνδρῶν πόλιν ;
Τίς τὸν πλανήτην Οἰδίπουν καθ' ἡμέραν
τὴν νῦν σπανιστοῖς δέξεται δωρήμασιν,
σμικρὸν μὲν ἐξαιτοῦντα, τοῦ μικροῦ δ' ἔτι
μεῖον φέροντα, καὶ τόδ' ἐξαρκοῦν ἐμοί ;
Στέργειν γὰρ αἱ πάθαι με χὠ χρόνος ξυνὼν
μακρὸς διδάσκει, καὶ τὸ γενναῖον τρίτον.
Ἀλλ', ὦ τέκνον, θάκησιν εἴ τινα βλέπεις
ἢ πρὸς βεβήλοις ἢ πρὸς ἄλσεσιν θεῶν,
στῆσόν με κἀξίδρυσον, ὡς πυθοίμεθα
ὅπου ποτ' ἐσμέν · μανθάνειν γὰρ ἥκομεν
ξένοι πρὸς ἀστῶν, ἂν δ' ἀκούσωμεν τελεῖν.
ΑΝΤΙΓΟΝΗ. Πάτερ ταλαίπωρ' Οἰδίπους, πύργοι μὲν οἳ
πόλιν στέγουσιν, ὡς ἀπ' ὀμμάτων, πρόσω ·
χῶρος δ' ὅδ' ἱρός, ὡς σάφ' εἰκάσαι, βρύων
δάφνης, ἐλαίας, ἀμπέλου · πυκνόπτεροι δ'
εἴσω κατ' αὐτὸν εὐστομοῦσ' ἀηδόνες ·
οὗ κῶλα κάμψον τοῦδ' ἐπ' ἀξέστου πέτρου ·
μακρὰν γὰρ ὡς γέροντι προὐστάλης ὁδόν.

ΟΙ. Κάθιζέ νύν με καὶ φύλασσε τὸν τυφλόν.
ΑΝ. Χρόνου μὲν οὕνεκ' οὐ μαθεῖν με δεῖ τόδε.
ΟΙ. Ἔχεις διδάξαι δή μ' ὅποι καθέσταμεν ;
ΑΝ. Τὰς γοῦν Ἀθήνας οἶδα, τὸν δὲ χῶρον οὔ.
ΟΙ. Πᾶς γάρ τις ηὔδα τοῦτό γ' ἡμὶν ἐμπόρων.
ΑΝ. Ἀλλ' ὅστις ὁ τόπος ἦ μάθω μολοῦσά ποι ;
ΟΙ. Ναί, τέκνον, εἴπερ ἐστί γ' ἐξοικήσιμος.
ΑΝ. Ἀλλ' ἐστὶ μὴν οἰκητός · οἴομαι δὲ δεῖν
οὐδέν · πέλας γὰρ ἄνδρα τόνδε νῷν ὁρῶ.
ΟΙ. Ἦ δεῦρο προσστείχοντα κἀξορμώμενον ;
ΑΝ. Καὶ δὴ μὲν οὖν παρόντα · χὤ τι[1] σοι λέγειν
εὔκαιρόν ἐστιν, ἔννεφ'[2], ὡς ἀνὴρ ὅδε.

ŒDIPE. Cette fille, étranger, voit pour moi et pour elle à la fois. Puisque je l'entends dire par quelle heureuse chance tu viens ici nous éclairer sur ce dont nous sommes ignorants...

L'ÉTRANGER. Avant d'en demander plus, quitte ce siège. Tu es dans un lieu qu'il n'est pas permis de fouler.

ŒDIPE. Quel est donc ce lieu ? À quel dieu est-il consacré ?

L'ÉTRANGER. Nul ne peut y accéder ni s'y fixer. Il appartient aux déesses d'effroi, aux filles de la Terre et de l'Ombre.

ŒDIPE. Et sous quel auguste nom puis-je les invoquer ? Je t'écoute.

L'ÉTRANGER. Celui des Euménides qui voient tout, c'est du moins ce que te diraient les gens d'ici. Mais autres pays, autres préférences.

ŒDIPE. Eh bien donc ! puissent-elles accueillir avec faveur le suppliant, car je ne saurais plus bouger de ce coin de terre où je suis assis.

ΟΙ. Ὦ ξεῖν', ἀκούων τῆσδε τῆς ὑπέρ τ' ἐμοῦ
αὑτῆς θ' ὁρώσης οὕνεχ' ἡμὶν αἴσιος
σκοπὸς προσήκεις ὧν ἀδηλοῦμεν φράσαι...
ΞΕΝΟΣ. Πρίν νυν τὰ πλείον' ἱστορεῖν, ἐκ τῆσδ' ἕδρας
ἔξελθ' · ἔχεις γὰρ χῶρον οὐχ ἁγνὸν πατεῖν.
ΟΙ. Τίς δ' ἔσθ' ὁ χῶρος ; Τοῦ θεῶν νομίζεται ;
ΞΕ. Ἄθικτος οὐδ' οἰκητός · αἱ γὰρ ἔμφοβοι
θεαί σφ' ἔχουσι, Γῆς τε καὶ Σκότου κόραι.
ΟΙ. Τίνων τὸ σεμνὸν ὄνομ' ἂν εὐξαίμην κλύων ;
ΞΕ. Τὰς πάνθ' ὁρώσας Εὐμενίδας ὅ γ' ἐνθάδ' ἂν
εἴποι λεώς νιν · ἄλλα δ' ἀλλαχοῦ καλά.
ΟΙ. Ἀλλ' ἵλεῳ μὲν τὸν ἱκέτην δεξαίατο,
ὡς οὐχ ἕδρας γῆς τῆσδ' ἂν ἐξέλθοιμ' ἔτι.

SOPHOCLE, *Œdipe à Colone*, v. 1-45

[1] χὤ τι, crase pour καὶ ὅ τι.
[2] ἔννεφ', forme élidée pour ἔννεπε.

IMPRIMERIE NATIONALE – D'après documents fournis

VERSION GRECQUE

LES MISÈRES DE LA VIE D'UN MONARQUE

Au cours d'un entretien privé, en 29 avant J.-C, Agrippa tente de détourner son ami Octave (le futur Auguste) d'aspirer au pouvoir absolu.

Εἰ δεῖ τι καὶ περὶ τῶν ἰδίᾳ σοὶ αὐτῷ συμφερόντων εἰπεῖν, πῶς μὲν ἂν ὑπομείνειας τοσαῦτα καὶ μεθ' ἡμέραν καὶ νύκτωρ διοικῶν, πῶς δ' ἂν μὴ ὑγιαίνων ἐξαρκέσειας; Τίνος δ' ἂν τῶν ἀγαθῶν τῶν ἀνθρωπίνων ἀπολαύσειας, πῶς δ' ἂν στερόμενος αὐτῶν εὐδαιμονήσειας; Τίνι δ' ἂν ἀκριβῶς ἡσθείης, πότε δ' οὐκ ἂν ἰσχυρῶς λυπηθείης; Πᾶσα γὰρ ἀνάγκη τὸν τηλικαύτην ἀρχὴν ἔχοντα καὶ φροντίζειν πολλὰ καὶ δεδιέναι πολλά, καὶ τῶν μὲν ἡδίστων ἐλάχιστα ἀπολαύειν, τὰ δὲ δυσχερέστατα ἀεὶ καὶ πανταχοῦ καὶ ἀκούειν καὶ ὁρᾶν καὶ ποιεῖν καὶ πάσχειν. Ὅθεν, οἶμαι, καὶ Ἕλληνες καὶ βάρβαροί τινες οὐδὲ διδομένας σφίσι βασιλείας ἐδέξαντο.

Ταῦτ' οὖν προϊδόμενος προβούλευσαι πρὶν ἐν αὐτοῖς γενέσθαι· αἰσχρὸν γάρ, μᾶλλον δὲ καὶ ἀδύνατόν ἐστι παρακύψαντά τινα ἅπαξ ἐς αὐτὰ ἀναδῦναι. Μηδέ σε ἐξαπατήσῃ μήτε τὸ μέγεθος τῆς ἐξουσίας μήθ' ἡ περιουσία τῶν κτημάτων, μὴ τὸ στῖφος τῶν σωματοφυλάκων, μὴ ὁ ὄχλος τῶν θεραπευόντων. Οἵ τε γὰρ πολὺ δυνάμενοι πολλὰ πράγματα ἔχουσι, καὶ οἱ συχνὰ κεκτημένοι συχνὰ ἀναλίσκειν ἀναγκάζονται, τά τε πλήθη τῶν δορυφόρων διὰ τὰ πλήθη τῶν ἐπιβουλευόντων ἀθροίζεται, καὶ οἱ κολακεύοντες ἐπιτρίψειαν ἄν τινα μᾶλλον ἢ σώσειαν. Ὥσθ' ἕνεκα τούτων οὐδ' ἂν εἷς εὖ φρονῶν αὐταρχῆσαι ἐπιθυμήσειεν.

DION CASSIUS

VERSION GRECQUE

L'ADIEU AUX ARMES ?

Phalinos, un Grec au service des Perses, a été dépêché par Tissapherne pour réclamer des mercenaires grecs de Cyrus le Jeune qu'ils déposent leurs armes, maintenant que celui qu'ils servaient est mort. Ils lui répondent.

Ἔνθα δὴ ἀπεκρίνατο Κλεάνωρ ὁ Ἀρκάς, πρεσβύτατος ὤν, ὅτι πρόσθεν ἂν ἀποθάνοιεν ἢ τὰ ὅπλα παραδοίησαν · Πρόξενος δὲ ὁ Θηβαῖος, « Ἀλλ' ἐγώ, ἔφη, ὦ Φαλῖνε, θαυμάζω πότερα ὡς κρατῶν βασιλεὺς αἰτεῖ τὰ ὅπλα ἢ ὡς διὰ φιλίαν δῶρα. Εἰ μὲν γὰρ ὡς κρατῶν, τί δεῖ αὐτὸν αἰτεῖν καὶ οὐ λαβεῖν ἐλθόντα ; Εἰ δὲ πείσας βούλεται λαβεῖν, λεγέτω τί ἔσται τοῖς στρατιώταις, ἐὰν αὐτῷ ταῦτα χαρίσωνται ». Πρὸς ταῦτα Φαλῖνος εἶπε · « Βασιλεὺς νικᾶν ἡγεῖται, ἐπεὶ Κῦρον ἀπέκτεινε. Τίς γὰρ αὐτῷ ἔστιν ὅστις τῆς ἀρχῆς ἀντιποιεῖται ; Νομίζει δὲ καὶ ὑμᾶς ἑαυτοῦ εἶναι, ἔχων ἐν μέσῃ τῇ ἑαυτοῦ χώρᾳ καὶ ποταμῶν ἐντὸς ἀδιαβάτων, καὶ πλῆθος ἀνθρώπων ἐφ' ὑμᾶς δυνάμενος ἀγαγεῖν, ὅσον οὐδ' εἰ παρέχοι ὑμῖν δύναισθε ἂν ἀποκτεῖναι ». Μετὰ τοῦτον Θεόπομπος Ἀθηναῖος εἶπεν · « Ὦ Φαλῖνε, νῦν, ὡς σὺ ὁρᾷς, ἡμῖν οὐδὲν ἔστιν ἀγαθὸν ἄλλο εἰ μὴ ὅπλα καὶ ἀρετή. Ὅπλα μὲν οὖν ἔχοντες οἰόμεθα ἂν καὶ τῇ ἀρετῇ χρῆσθαι, παραδόντες δ' ἂν ταῦτα καὶ τῶν σωμάτων στερηθῆναι. Μὴ οὖν οἴου τὰ μόνα ἀγαθὰ ἡμῖν ὄντα ἡμᾶς παραδώσειν, ἀλλὰ σὺν τούτοις καὶ περὶ τῶν ὑμετέρων ἀγαθῶν μαχούμεθα ». Ἀκούσας δὲ ταῦτα ὁ Φαλῖνος ἐγέλασε καὶ εἶπεν · « Ἀλλὰ φιλοσόφῳ μὲν ἔοικας, ὦ νεανίσκε, καὶ λέγεις οὐκ ἀχάριστα · ἴσθι μέντοι ἀνόητος ὤν, εἰ οἴει τὴν ὑμετέραν ἀρετὴν περιγενέσθαι ἂν τῆς βασιλέως δυνάμεως ».

XÉNOPHON

TRADUCTION ET COMMENTAIRE D'UN TEXTE GREC

COMMENT SURVIVRE À LA COUR D'UN TYRAN ?

Denys l'Ancien, tyran de Syracuse (début du IVe s. av. J.-C.), se targue d'écrire des vers et invite à sa cour les intellectuels les plus fameux de son temps. Comblés de faveurs, ses protégés émettent ordinairement des jugements flatteurs. Mais certains ne se plient pas à l'usage…

Parmi les poètes admis à sa cour se trouvait Philoxénos, l'auteur de dithyrambes, très estimé pour son style dans son propre genre poétique. Or un jour qu'on avait lu au banquet des poèmes exécrables que le tyran avait composés, on demanda à Philoxénos son jugement sur ces poèmes. Sa réponse fut trop franche. Le tyran, heurté par ses mots, lui reprocha de ne le dénigrer que par jalousie, et ordonna à ses serviteurs de le conduire sur-le-champ aux Latomies. Le lendemain, les amis de Philoxénos demandèrent sa grâce ; le tyran se réconcilia avec lui et invita de nouveau les mêmes convives au banquet. Comme se prolongeait cette soirée où l'on buvait, Denys recommença à se vanter de ses poèmes et récita quelques vers qu'il estimait réussis ; mais quand il interrogea encore Philoxénos : « Comment trouves-tu ce poème ? », l'autre ne répondit rien, mais se contenta d'appeler les serviteurs de Denys et leur demanda de le conduire aux Latomies. Cette fois, Denys sourit de cette repartie spirituelle et toléra la franchise du poète : la plaisanterie avait émoussé la pointe de la critique. Mais peu de temps après, comme les amis communs de Philoxénos et de Denys désapprouvaient la franchise intempestive du poète, Philoxénos fit une promesse singulière : il s'engagea à concilier, dans sa réponse, la vérité et le contentement de Denys, et il tint parole. Car le tyran récita un jour quelques vers qui exprimaient des souffrances dignes de pitié, et lui demanda ensuite : « Comment trouves-tu ce poème ? » Philoxénos répondit : « À pleurer ! » Il concilia, grâce à cette réponse ambiguë, ses deux desseins. Car Denys crut que « à pleurer » signifiait « digne de pitié et plein de compassion », et que telles étaient les œuvres réussies des bons poètes ; aussi accueillit-il cette réponse comme un éloge. Les autres, en revanche, saisirent son sens véritable, et comprirent que les mots « à pleurer » s'appliquaient tout entiers à la nature de ce poème manqué.

Τῶν δὲ συνόντων αὐτῷ[1] ποιητῶν Φιλόξενος ὁ διθυραμβοποιός, μέγιστον ἔχων ἀξίωμα κατὰ τὴν κατασκευὴν τοῦ ἰδίου ποιήματος, κατὰ τὸ συμπόσιον ἀναγνωσθέντων τῶν τοῦ τυράννου ποιημάτων μοχθηρῶν ὄντων ἐπηρωτήθη περὶ τῶν ποιημάτων τίνα κρίσιν ἔχοι. Ἀποκριναμένου δ' αὐτοῦ παρρησιωδέστερον, ὁ μὲν τύραννος προσκόψας τοῖς ῥηθεῖσι, καὶ καταμεμψάμενος ὅτι διὰ φθόνον ἐβλασφήμησε, προσέταξε τοῖς ὑπηρέταις παραχρῆμα ἀπάγειν εἰς τὰς λατομίας[2]. Τῇ δ' ὑστεραίᾳ τῶν φίλων παρακαλούντων συγγνώμην δοῦναι τῷ Φιλοξένῳ, διαλλαγεὶς αὐτῷ πάλιν τοὺς αὐτοὺς παρέλαβεν ἐπὶ τὸ συμπόσιον. Προβαίνοντος δὲ τοῦ πότου, καὶ πάλιν τοῦ Διονυσίου καυχωμένου περὶ τῶν ἰδίων ποιημάτων, καί τινας στίχους τῶν δοκούντων ἐπιτετεῦχθαι προενεγκαμένου, καὶ ἐπερωτῶντος· « Ποῖά τινά σοι φαίνεται τὰ ποιήματα ὑπάρχειν ; » ἄλλο μὲν οὐδὲν εἶπε, τοὺς δ' ὑπηρέτας τοῦ Διονυσίου προσκαλεσάμενος ἐκέλευσεν αὑτὸν ἀπαγαγεῖν εἰς τὰς λατομίας. Τότε μὲν οὖν διὰ τὴν εὐτραπελίαν τῶν λόγων μειδιάσας ὁ Διονύσιος ἤνεγκε τὴν παρρησίαν, τοῦ γέλωτος τὴν μέμψιν ἀμβλύνοντος· μετ' ὀλίγον δὲ τῶν γνωρίμων ἅμ' ἐκείνου καὶ τοῦ Διονυσίου παραιτουμένων τὴν ἄκαιρον παρρησίαν, ὁ Φιλόξενος ἐπηγγείλατο παράδοξόν τινα ἐπαγγελίαν. Ἔφη γὰρ διὰ τῆς ἀποκρίσεως τηρήσειν ἅμα καὶ τὴν ἀλήθειαν καὶ τὴν εὐδόκησιν τοῦ Διονυσίου, καὶ οὐ διεψεύσθη. Τοῦ γὰρ τυράννου προενεγκαμένου τινὰς στίχους ἔχοντας ἐλεεινὰ πάθη, καὶ ἐρωτήσαντος· « Ποῖά τινα φαίνεται τὰ ποιήματα ; » εἶπεν· « Οἰκτρά », διὰ τῆς ἀμφιβολίας ἀμφότερα τηρήσας. Ὁ μὲν γὰρ Διονύσιος ἐδέξατο τὰ οἰκτρὰ εἶναι ἐλεεινὰ καὶ συμπαθείας πλήρη, τὰ δὲ τοιαῦτα εἶναι ποιητῶν ἀγαθῶν ἐπιτεύγματα, ὅθεν ὡς ἐπῃνεκότα αὐτὸν ἀπεδέχετο· οἱ δ' ἄλλοι τὴν ἀληθινὴν διάνοιαν ἐκδεξάμενοι πᾶν τὸ οἰκτρὸν ἀποτεύγματος φύσιν εἰρῆσθαι διελάμβανον.

Παραπλήσιον δὲ συνέβη καὶ περὶ Πλάτωνα τὸν φιλόσοφον γενέσθαι. Μεταπεμψάμενος γὰρ τὸν ἄνδρα τοῦτον τὸ μὲν πρῶτον ἀποδοχῆς ἠξίου τῆς μεγίστης, ὁρῶν αὐτὸν παρρησίαν ἔχοντα ἀξίαν τῆς φιλοσοφίας· ὕστερον δ' ἔκ τινων λόγων προσκόψας αὐτῷ παντελῶς ἀπηλλοτριώθη, καὶ προαγαγὼν εἰς τὸ πρατήριον ὡς ἀνδράποδον ἀπέδοτο μνῶν εἴκοσι. Ἀλλὰ τοῦτον μὲν οἱ φίλοι συνελθόντες ἐξηγόρασαν καὶ ἐξαπέστειλαν εἰς τὴν Ἑλλάδα, φιλικὴν νουθεσίαν ἐπιφθεγξάμενοι, διότι δεῖ τὸν σοφὸν τοῖς τυράννοις ἢ ὡς ἥκιστα ἢ ὡς ἥδιστα ὁμιλεῖν· ὁ δὲ Διονύσιος τῆς εἰς τὰ ποιήματα σπουδῆς οὐκ ἀφιστάμενος εἰς μὲν τὴν Ὀλυμπιακὴν πανήγυριν ἐξαπέστειλε τοὺς εὐφωνοτάτους τῶν ὑποκριτῶν διαθησομένους ἐν τοῖς ὄχλοις μετ' ᾠδῆς τὰ ποιήματα. Οὗτοι δὲ τὸ μὲν πρῶτον διὰ τὴν εὐφωνίαν ἐξέπληττον τοὺς ἀκούοντας, μετὰ δὲ ταῦτα ἀναθεωρήσεως γενομένης κατεφρονήθησαν καὶ πολὺν ἀπηνέγκαντο γέλωτα. Ὁ δὲ Διονύσιος ἀκούσας τὴν τῶν ποιημάτων καταφρόνησιν ἐνέπεσεν εἰς ὑπερβολὴν λύπης.

DIODORE DE SICILE, *Bibliothèque Historique*.

1. Le pronom αὐτῷ renvoie à Denys.
2. Les Latomies sont des carrières proches de Syracuse, qui servent de prison.

Vous traduirez le texte grec qui n'est pas encore traduit (lignes 39-49) avant de commenter l'ensemble du passage (lignes 1-49).

IMPRIMERIE NATIONALE – D'après documents fournis

Version grecque AL 2012

Lucien *Démonax* § 11

Τοιγαροῦν καὶ Ἀθηναίων ὅ τε σύμπας δῆμος καὶ οἱ ἐν τέλει ὑπερφυῶς ἐθαύμαζον αὐτὸν καὶ διετέλουν ὥς τινα τῶν κρειττόνων προσβλέποντες. καίτοι ἐν ἀρχῇ προσέκρουε τοῖς πολλοῖς αὐτῶν καὶ μῖσος οὐ μεῖον τοῦ πρὸ αὐτοῦ παρὰ τοῖς πλήθεσιν ἐκτήσατο ἐπί τε τῇ παρρησίᾳ καὶ ἐλευθερίᾳ, καί τινες ἐπ' αὐτὸν συνέστησαν Ἄνυτοι καὶ Μέλητοι τὰ αὐτὰ κατηγοροῦντες ἅπερ κἀκείνου οἱ τότε, ὅτι οὔτε θύων ὤφθη πώποτε οὔτε ἐμυήθη μόνος ἁπάντων ταῖς Ἐλευσινίαις· πρὸς ἅπερ ἀνδρείως μάλα στεφανωσάμενος καὶ καθαρὸν ἱμάτιον ἀναλαβὼν καὶ παρελθὼν εἰς τὴν ἐκκλησίαν τὰ μὲν ἐμμελῶς, τὰ δὲ καὶ τραχύτερον ἢ κατὰ τὴν ἑαυτοῦ προαίρεσιν ἀπελογήσατο· πρὸς μὲν γὰρ τὸ μὴ τεθυκέναι πώποτε τῇ Ἀθηνᾷ, Μὴ θαυμάσητε, ἔφη, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ μὴ πρότερον αὐτῇ ἔθυσα, οὐδὲν γὰρ δεῖσθαι αὐτὴν τῶν παρ' ἐμοῦ θυσιῶν ὑπελάμβανον. πρὸς δὲ θάτερον, τὸ τῶν μυστηρίων, ταύτην ἔφη ἔχειν αἰτίαν τοῦ μὴ κοινωνῆσαι σφίσι τῆς τελετῆς, ὅτι, ἄν τε φαῦλα ᾖ τὰ μυστήρια, οὐ σιωπήσεται πρὸς τοὺς μηδέπω μεμυημένους, ἀλλ' ἀποτρέψει αὐτοὺς τῶν ὀργίων, ἄν τε καλά, πᾶσιν αὐτὰ ἐξαγορεύσει ὑπὸ φιλανθρωπίας· ὥστε τοὺς Ἀθηναίους ἤδη λίθους ἐπ' αὐτὸν ἐν ταῖν χεροῖν ἔχοντας πράους αὐτῷ καὶ ἵλεως γενέσθαι αὐτίκα

VERSION GRECQUE

LA FORCE DES DISCOURS

Pour convaincre Socrate, qui prétend ne pas chercher à préparer sa défense, Hermogène lui rappelle la force de la rhétorique : qu'on soit innocent ou coupable, ce sont les discours qui fondent la conviction des juges.

Σωκράτους δὲ ἄξιόν μοι δοκεῖ εἶναι μεμνῆσθαι καὶ ὡς ἐπειδὴ ἐκλήθη εἰς τὴν δίκην ἐβουλεύσατο περί τε τῆς ἀπολογίας καὶ τῆς τελευτῆς τοῦ βίου. Γεγράφασι μὲν οὖν περὶ τούτου καὶ ἄλλοι καὶ πάντες ἔτυχον τῆς μεγαληγορίας αὐτοῦ · ᾧ καὶ δῆλον ὅτι τῷ ὄντι οὕτως ἐρρήθη ὑπὸ Σωκράτους. Ἀλλ' ὅτι ἤδη ἑαυτῷ ἡγεῖτο αἱρετώτερον εἶναι τοῦ βίου θάνατον, τοῦτο οὐ διεσαφήνισαν · ὥστε ἀφρονεστέρα αὐτοῦ φαίνεται εἶναι ἡ μεγαληγορία. Ἑρμογένης μέντοι ὁ Ἱππονίκου ἑταῖρός τε ἦν αὐτῷ καὶ ἐξήγγειλε περὶ αὐτοῦ τοιαῦτα ὥστε πρέπουσαν φαίνεσθαι τὴν μεγαληγορίαν αὐτοῦ τῇ διανοίᾳ. Ἐκεῖνος γὰρ ἔφη ὁρῶν αὐτὸν περὶ πάντων μᾶλλον διαλεγόμενον ἢ περὶ τῆς δίκης εἰπεῖν · « Οὐκ ἐχρῆν μέντοι σκοπεῖν, ὦ Σώκρατες, καὶ ὅ τι ἀπολογήσῃ ; » Τὸν δὲ τὸ μὲν πρῶτον ἀποκρίνασθαι · « Οὐ γὰρ δοκῶ σοι ἀπολογεῖσθαι μελετῶν διαβεβιωκέναι ; » Ἐπεὶ δ' αὐτὸν ἐρέσθαι · « Πῶς ; » « Ὅτι οὐδὲν ἄδικον διαγεγένημαι ποιῶν · ἥνπερ νομίζω μελέτην εἶναι καλλίστην ἀπολογίας. » Ἐπεὶ δὲ αὐτὸν πάλιν λέγειν · « Οὐχ ὁρᾷς τὰ Ἀθηναίων δικαστήρια ὡς πολλάκις μὲν οὐδὲν ἀδικοῦντας λόγῳ παραχθέντες ἀπέκτειναν, πολλάκις δὲ ἀδικοῦντας ἢ ἐκ τοῦ λόγου οἰκτίσαντες ἢ ἐπιχαρίτως εἰπόντας ἀπέλυσαν ; »

XÉNOPHON

Version grecque BL 2011

Platon – *République* 329a-d - « Le charme de la vieillesse »

[329a] Ἐγώ σοι, ἔφη, νὴ τὸν Δία ἐρῶ, ὦ Σώκρατες, οἷόν γέ μοι φαίνεται. Πολλάκις γὰρ συνερχόμεθά τινες εἰς ταὐτὸν παραπλησίαν ἡλικίαν ἔχοντες, διασῴζοντες τὴν παλαιὰν παροιμίαν· οἱ οὖν πλεῖστοι ἡμῶν ὀλοφύρονται συνιόντες, τὰς ἐν τῇ νεότητι ἡδονὰς ποθοῦντες καὶ ἀναμιμνῃσκόμενοι περί τε τἀφροδίσια καὶ περὶ πότους τε καὶ εὐωχίας καὶ ἄλλ' ἄττα ἃ τῶν τοιούτων ἔχεται, καὶ ἀγανακτοῦσιν ὡς μεγάλων τινῶν ἀπεστερημένοι καὶ τότε μὲν εὖ ζῶντες, νῦν δὲ οὐδὲ ζῶντες. [329b] Ἔνιοι δὲ καὶ τὰς τῶν οἰκείων προπηλακίσεις τοῦ γήρως ὀδύρονται, καὶ ἐπὶ τούτῳ δὴ τὸ γῆρας ὑμνοῦσιν ὅσων κακῶν σφίσιν αἴτιον. Ἐμοὶ δὲ δοκοῦσιν, ὦ Σώκρατες, οὗτοι οὐ τὸ αἴτιον αἰτιᾶσθαι. Εἰ γὰρ ἦν τοῦτ' αἴτιον, κἂν ἐγὼ τὰ αὐτὰ ταῦτα ἐπεπόνθη, ἕνεκά γε γήρως, καὶ οἱ ἄλλοι πάντες ὅσοι ἐνταῦθα ἦλθον ἡλικίας. Νῦν δ' ἔγωγε ἤδη ἐντετύχηκα οὐχ οὕτως ἔχουσιν καὶ ἄλλοις, καὶ δὴ καὶ Σοφοκλεῖ ποτε τῷ ποιητῇ παρεγενόμην ἐρωτωμένῳ ὑπό τινος· "πῶς," ἔφη, [329c] "ὦ Σοφόκλεις, ἔχεις πρὸς τἀφροδίσια; ἔτι οἷός τε εἶ γυναικὶ συγγίγνεσθαι"; καὶ ὅς, "εὐφήμει," ἔφη, "ὦ ἄνθρωπε· ἁσμενέστατα μέντοι αὐτὸ ἀπέφυγον, ὥσπερ λυττῶντά τινα καὶ ἄγριον δεσπότην ἀποδράς." Εὖ οὖν μοι καὶ τότε ἔδοξεν ἐκεῖνος εἰπεῖν, καὶ νῦν οὐχ ἧττον. Παντάπασι γὰρ τῶν γε τοιούτων ἐν τῷ γήρᾳ πολλὴ εἰρήνη γίγνεται καὶ ἐλευθερία· ἐπειδὰν αἱ ἐπιθυμίαι παύσωνται κατατείνουσαι καὶ χαλάσωσιν, παντάπασιν τὸ τοῦ Σοφοκλέους γίγνεται, [329d] δεσποτῶν πάνυ πολλῶν ἐστι καὶ μαινομένων ἀπηλλάχθαι. Ἀλλὰ καὶ τούτων πέρι καὶ τῶν γε πρὸς τοὺς οἰκείους μία τις αἰτία ἐστίν, οὐ τὸ γῆρας, ὦ Σώκρατες, ἀλλ' ὁ τρόπος τῶν ἀνθρώπων. Ἂν μὲν γὰρ κόσμιοι καὶ εὔκολοι ὦσιν, καὶ τὸ γῆρας μετρίως ἐστὶν ἐπίπονον· εἰ δὲ μή, καὶ γῆρας, ὦ Σώκρατες, καὶ νεότης χαλεπὴ τῷ τοιούτῳ συμβαίνει.

TRADUCTION ET COMMENTAIRE D'UN TEXTE GREC

QUEL TALENT !

Socrate se joue du sophiste Hippias en feignant de mesurer la science d'un orateur à l'aune de ses émoluments.

SOCRATE — Je puis attester avec toi que tu dis vrai et qu'en effet votre art a progressé pour ce qui est de pouvoir traiter les affaires publiques en même temps que les intérêts privés. Par exemple Gorgias, le célèbre sophiste de Léontini, venu ici en ambassade depuis son pays à titre public, parce que, disait-on, il était des Léontins le plus capable de traiter de l'intérêt commun, a acquis devant le peuple une réputation d'excellent orateur en même temps que, à titre privé, par ses démonstrations et ses leçons aux jeunes gens, il a réalisé et gagné de grosses sommes sur notre ville. Veux-tu un autre exemple ? Notre célèbre ami Prodicos s'est déjà souvent déplacé à titre public ; pour autant, quand finalement il est naguère venu ici depuis Kéos à titre public, son discours devant le Conseil lui a valu un bien grand renom en même temps que, à titre privé, par ses démonstrations et ses leçons aux jeunes gens, il a gagné des sommes fabuleuses. Parmi les anciens savants au contraire, aucun n'a jamais cru devoir exiger de salaire en argent ni donner des démonstrations de la science qui était la sienne devant toute sorte de gens, tant ils étaient simples et ignoraient quelle immense valeur a l'argent ! Au contraire, chacun des deux sophistes que j'ai nommés a tiré plus d'argent de sa science que tout autre artisan de son art, quel qu'il soit ; et de même Protagoras avant eux.

ΣΩΚΡΑΤΗΣ — Συμμαρτυρῆσαι δέ σοι ἔχω ὅτι ἀληθῆ λέγεις, καὶ τῷ ὄντι ὑμῶν ἐπιδέδωκεν ἡ τέχνη πρὸς τὸ καὶ τὰ δημόσια πράττειν δύνασθαι μετὰ τῶν ἰδίων. Γοργίας τε γὰρ οὗτος ὁ Λεοντῖνος σοφιστὴς δεῦρο ἀφίκετο δημοσίᾳ οἴκοθεν πρεσβεύων, ὡς ἱκανώτατος ὢν Λεοντίνων τὰ κοινὰ πράττειν, καὶ ἔν τε τῷ δήμῳ ἔδοξεν ἄριστα εἰπεῖν, καὶ ἰδίᾳ ἐπιδείξεις ποιούμενος καὶ συνὼν τοῖς νέοις χρήματα πολλὰ ἠργάσατο καὶ ἔλαβεν ἐκ τῆσδε τῆς πόλεως· εἰ δὲ βούλει, ὁ ἡμέτερος ἑταῖρος Πρόδικος οὗτος πολλάκις μὲν καὶ ἄλλοτε δημοσίᾳ ἀφίκετο, ἀτὰρ τὰ τελευταῖα ἔναγχος ἀφικόμενος δημοσίᾳ ἐκ Κέω λέγων τ' ἐν τῇ βουλῇ πάνυ ηὐδοκίμησεν καὶ ἰδίᾳ ἐπιδείξεις ποιούμενος καὶ τοῖς νέοις συνὼν χρήματα ἔλαβεν θαυμαστὰ ὅσα. Τῶν δὲ παλαιῶν ἐκείνων οὐδεὶς πώποτε ἠξίωσεν ἀργύριον μισθὸν πράξασθαι οὐδ' ἐπιδείξεις ποιήσασθαι ἐν παντοδαποῖς ἀνθρώποις τῆς ἑαυτοῦ σοφίας· οὕτως ἦσαν εὐήθεις καὶ ἐλελήθει αὐτοὺς ἀργύριον ὡς πολλοῦ ἄξιον εἴη. Τούτων δ' ἑκάτερος πλέον ἀργύριον ἀπὸ σοφίας εἴργασται ἢ ἄλλος δημιουργὸς ἀφ' ἧστινος τέχνης· καὶ ἔτι πρότερος τούτων Πρωταγόρας.

ΙΠΠΙΑΣ — Οὐδὲν γάρ, ὦ Σώκρατες, οἶσθα τῶν καλῶν περὶ τοῦτο. Εἰ γὰρ εἰδείης ὅσον ἀργύριον εἴργασμαι ἐγώ, θαυμάσαις ἄν· καὶ τὰ μὲν ἄλλα ἐῶ, ἀφικόμενος δέ ποτε εἰς Σικελίαν, Πρωταγόρου αὐτόθι ἐπιδημοῦντος καὶ εὐδοκιμοῦντος καὶ πρεσβυτέρου ὄντος πολὺ νεώτερος ὢν ἐν ὀλίγῳ χρόνῳ πάνυ πλέον ἢ πεντήκοντα καὶ ἑκατὸν μνᾶς ἠργασάμην, καὶ ἐξ ἑνός γε χωρίου πάνυ σμικροῦ, Ἰνυκοῦ, πλέον ἢ εἴκοσι μνᾶς· καὶ τοῦτο ἐλθὼν οἴκαδε φέρων τῷ πατρὶ ἔδωκα, ὥστε ἐκεῖνον καὶ τοὺς ἄλλους πολίτας θαυμάζειν τε καὶ ἐκπεπλῆχθαι. Καὶ σχεδόν τι οἶμαι ἐμὲ πλείω χρήματα εἰργάσθαι ἢ ἄλλους σύνδυο οὕστινας βούλει τῶν σοφιστῶν.

ΣΩ. — Καλόν γε, ὦ Ἱππία, λέγεις καὶ μέγα τεκμήριον σοφίας τῆς τε σεαυτοῦ καὶ τῶν νῦν ἀνθρώπων πρὸς τοὺς ἀρχαίους ὅσον διαφέρουσι.

De fait, d'après ce que tu dis, nos prédécesseurs étaient de grands ignorants, puisque, dit-on, il arriva à Anaxagore le contraire de ce qui vous arrive à vous. Héritier d'une grosse fortune, il la perdit tout entière par sa négligence, tant il est vrai qu'avec toute sa science il manquait d'intelligence. On en rapporte autant d'autres anciens. Tu me parais donc publier là une belle preuve de ce que vaut la science de nos contemporains comparée à celle de leurs prédécesseurs ; et beaucoup de gens sont du même avis, que le savant doit être avant tout savant pour lui-même ; ce qui revient à dire qu'il doit se faire le plus d'argent possible.

Τῶν γὰρ προτέρων πολλὴ ἀμαθία κατὰ τὸν σὸν λόγον. Τοὐναντίον γὰρ Ἀναξαγόρᾳ φασὶ συμβῆναι ἢ ὑμῖν· καταλειφθέντων γὰρ αὐτῷ πολλῶν χρημάτων καταμελῆσαι καὶ ἀπολέσαι πάντα — οὕτως αὐτὸν ἀνόητα σοφίζεσθαι — λέγουσι δὲ καὶ περὶ ἄλλων τῶν παλαιῶν ἕτερα τοιαῦτα. Τοῦτο μὲν οὖν μοι δοκεῖς καλὸν τεκμήριον ἀποφαίνειν περὶ σοφίας τῶν νῦν πρὸς τοὺς προτέρους, καὶ πολλοῖς συνδοκεῖ ὅτι τὸν σοφὸν αὐτὸν αὑτῷ μάλιστα δεῖ σοφὸν εἶναι· τούτου δ' ὅρος ἐστὶν ἄρα, ὃς ἂν πλεῖστον ἀργύριον ἐργάσηται.

PLATON, *Hippias majeur*.

Vous traduirez le texte grec qui n'est pas encore traduit avant de commenter l'ensemble du passage.

VERSION GRECQUE

Jalousie barbare

Hermione s'en prend à Andromaque, réfugiée dans le temple de Thétis : jalouse de la veuve d'Hector et du fils que cette dernière a eu avec Néoptolème, elle accuse sa rivale d'être cause de sa stérilité et lui prête tous les vices.

Σὺ δ' οὖσα δούλη καὶ δορίκτητος γυνὴ
δόμους κατασχεῖν ἐκβαλοῦσ' ἡμᾶς θέλεις
τούσδε, στυγοῦμαι δ' ἀνδρὶ φαρμάκοισι σοῖς,
νηδὺς δ' ἀκύμων διὰ σέ μοι διόλλυται·
δεινὴ γὰρ ἠπειρῶτις ἐς τὰ τοιάδε
ψυχὴ γυναικῶν· ὧν ἐπισχήσω σ' ἐγώ,
κοὐδέν σ' ὀνήσει δῶμα Νηρῇδος τόδε,
οὐ βωμὸς οὐδὲ ναός, ἀλλὰ κατθανῇ.
Ἢν δ' οὖν βροτῶν τίς σ' ἢ θεῶν σῶσαι θέλῃ,
δεῖ σ' ἀντὶ τῶν πρὶν ὀλβίων φρονημάτων
πτῆξαι ταπεινὴν προσπεσεῖν τ' ἐμὸν γόνυ,
σαίρειν τε δῶμα τοὐμὸν ἐκ χρυσηλάτων
τευχέων χερὶ σπείρουσαν Ἀχελῴου δρόσον,
γνῶναί θ' ἵν' εἶ γῆς. Οὐ γάρ ἐσθ' Ἕκτωρ τάδε,
οὐ Πρίαμος οὐδὲ χρυσός, ἀλλ' Ἑλλὰς πόλις.
Ἐς τοῦτο δ' ἥκεις ἀμαθίας, δύστηνε σύ,
ἣ παιδὶ πατρός, ὃς σὸν ὤλεσεν πόσιν,
τολμᾷς ξυνεύδειν καὶ τέκν' αὐθέντου πάρα
τίκτειν. Τοιοῦτον πᾶν τὸ βάρβαρον γένος·
πατήρ τε θυγατρὶ παῖς τε μητρὶ μείγνυται
κόρη τ' ἀδελφῷ, διὰ φόνου δ' οἱ φίλτατοι
χωροῦσι, καὶ τῶνδ' οὐδὲν ἐξείργει νόμος.

Euripide

TRADUCTION ET COMMENTAIRE D'UN TEXTE GREC

MOLLESSE BARBARE

En 380 avant J.-C., pour exhorter les Grecs à s'unir contre leur ennemi héréditaire, l'orateur athénien Isocrate s'en prend vivement aux défauts qu'il croit déceler dans la nature barbare.

Aussi les Perses me semblent-ils avoir bien étalé en tous lieux leur mollesse : sur les côtes de l'Asie ils ont été vaincus en bien des combats ; quand ils sont passés en Europe, ils ont été châtiés, les uns périssant misérablement, les autres se sauvant honteusement ; et enfin ils se sont rendus ridicules sous les murs mêmes des palais royaux. D'ailleurs, rien de tout cela n'est illogique et tout se produit selon la vraisemblance : il est impossible à des gens élevés et gouvernés comme ils sont d'avoir quelque vertu et, dans les combats, de dresser un trophée sur les ennemis. Comment pourrait-il exister soit un général habile, soit un soldat courageux avec les habitudes de ces gens dont la majorité forme une foule sans discipline ni expérience des dangers, amollie devant la guerre, mais mieux instruite pour l'esclavage que les serviteurs de chez nous ? Chez eux, ceux qui ont la plus haute réputation, sans nulle exception, n'ont jamais vécu avec le souci de l'intérêt commun ou celui de l'État, et passent tout leur temps à outrager les uns, à être esclaves des autres, de la façon dont la nature humaine peut être la plus corrompue ; ils plongent leur corps dans le luxe par suite de leur richesse, ils ont l'âme humiliée et épouvantée par la monarchie, ils se laissent inspecter à la porte du palais, ils se roulent à terre, ils s'exercent de toute manière à l'humilité en adorant un mortel qu'ils nomment dieu et en se souciant moins des dieux que des hommes. Pour parler brièvement, sans m'attacher à chaque cas particulier, en général, qui parmi leurs ennemis n'est pas revenu après avoir réussi ? Qui parmi leurs subordonnés n'a pas fini sa vie dans les tourments ?

Ὥστε μοι δοκοῦσιν ἐν ἅπασι τοῖς τόποις σαφῶς ἐπιδεδεῖχθαι τὴν αὑτῶν μαλακίαν· καὶ γὰρ ἐν τῇ παραλίᾳ τῆς Ἀσίας πολλὰς μάχας ἥττηνται, καὶ διαβάντες εἰς τὴν Εὐρώπην δίκην ἔδοσαν (οἱ μὲν γὰρ αὐτῶν κακῶς ἀπώλονθ', οἱ δ' αἰσχρῶς ἐσώθησαν), καὶ τελευτῶντες ὑπ' αὐτοῖς τοῖς βασιλείοις καταγέλαστοι γεγόνασιν. Καὶ τούτων οὐδὲν ἀλόγως γέγονεν, ἀλλὰ πάντ' εἰκότως ἀποβέβηκεν· οὐ γὰρ οἷόν τε τοὺς οὕτω τρεφομένους καὶ πολιτευομένους οὔτε τῆς ἄλλης ἀρετῆς μετέχειν οὔτ' ἐν ταῖς μάχαις τρόπαιον ἱστάναι τῶν πολεμίων. Πῶς γὰρ ἐν τοῖς ἐκείνων ἐπιτηδεύμασιν ἐγγενέσθαι δύναιτ' ἂν ἢ στρατηγὸς δεινὸς ἢ στρατιώτης ἀγαθὸς, ὧν τὸ μὲν πλεῖστόν ἐστιν ὄχλος ἄτακτος καὶ κινδύνων ἄπειρος, πρὸς μὲν τὸν πόλεμον ἐκλελυμένος, πρὸς δὲ τὴν δουλείαν ἄμεινον τῶν παρ' ἡμῖν οἰκετῶν πεπαιδευμένος; Οἱ δ' ἐν ταῖς μεγίσταις δόξαις ὄντες αὐτῶν ὁμαλῶς μὲν οὐδὲ κοινῶς οὐδὲ πολιτικῶς οὐδεπώποτ' ἐβίωσαν, ἅπαντα δὲ τὸν χρόνον διάγουσιν εἰς μὲν τοὺς ὑβρίζοντες, τοῖς δὲ δουλεύοντες, ὡς ἂν ἄνθρωποι μάλιστα τὰς φύσεις διαφθαρεῖεν, καὶ τὰ μὲν σώματα διὰ τοὺς πλούτους τρυφῶντες, τὰς δὲ ψυχὰς διὰ τὰς μοναρχίας ταπεινὰς καὶ περιδεεῖς ἔχοντες, ἐξεταζόμενοι πρὸς αὐτοῖς τοῖς βασιλείοις καὶ προκαλινδούμενοι καὶ πάντα τρόπον μικρὸν φρονεῖν μελετῶντες, θνητὸν μὲν ἄνδρα προσκυνοῦντες καὶ δαίμονα προσαγορεύοντες, τῶν δὲ θεῶν μᾶλλον ἢ τῶν ἀνθρώπων ὀλιγωροῦντες. Ὡς δ' ἁπλῶς εἰπεῖν καὶ μὴ καθ' ἓν ἕκαστον, ἀλλ' ὡς ἐπὶ τὸ πολὺ, τίς ἢ τῶν πολεμησάντων αὐτοῖς οὐκ εὐδαιμονήσας ἀπῆλθεν, ἢ τῶν ὑπ' ἐκείνοις γενομένων οὐκ αἰκισθεὶς τὸν βίον ἐτελεύτησεν;

Οὐ Κόνωνα μὲν ὃς ὑπὲρ τῆς Ἀσίας στρατηγήσας τὴν ἀρχὴν τὴν Λακεδαιμονίων κατέλυσεν, ἐπὶ θανάτῳ συλλαβεῖν ἐτόλμησαν, Θεμιστοκλέα δ' ὃς ὑπὲρ τῆς Ἑλλάδος αὐτοὺς κατεναυμάχησε, τῶν μεγίστων δωρεῶν ἠξίωσαν; Καίτοι πῶς χρὴ τὴν τούτων φιλίαν ἀγαπᾶν, οἳ τοὺς μὲν εὐεργέτας τιμωροῦνται, τοὺς δὲ κακῶς ποιοῦντας οὕτως ἐπιφανῶς κολακεύουσιν; Περὶ τίνας δ' ἡμῶν οὐκ ἐξημαρτήκασιν; Ποῖον δὲ χρόνον διαλελοίπασιν ἐπιβουλεύοντες τοῖς Ἕλλησιν; Τί δ' οὐκ ἐχθρὸν αὐτοῖς ἐστι τῶν παρ' ἡμῖν, οἳ καὶ τὰ τῶν θεῶν ἕδη καὶ τοὺς νεὼς συλᾶν ἐν τῷ προτέρῳ πολέμῳ καὶ κατακάειν ἐτόλμησαν; Διὸ καὶ τοὺς Ἴωνας ἄξιον ἐπαινεῖν ὅτι τῶν ἐμπρησθέντων ἱερῶν ἐπηράσαντ' εἴ τινες κινήσειαν ἢ πάλιν εἰς τἀρχαῖα καταστῆσαι βουληθεῖεν, οὐκ ἀποροῦντες πόθεν ἐπισκευάσωσιν, ἀλλ' ἵν' ὑπόμνημα τοῖς ἐπιγιγνομένοις ᾖ τῆς τῶν βαρβάρων ἀσεβείας.

ISOCRATE, *Panégyrique*.

Vous traduirez le texte grec qui ne l'est pas encore avant de commenter l'ensemble du passage.

VERSION GRECQUE

UN AMOUR HONNÊTE

Eschine, qui accuse Timarque de s'être prostitué dans sa jeunesse, a appris que son adversaire allait faire monter à la tribune un homme important afin de dénoncer son hypocrisie. Il se défend donc par avance contre cette charge.

Κἀνταῦθα δή τινα καταδρομήν, ὡς ἀκούω, μέλλει περὶ ἐμοῦ ποιεῖσθαι, ἐπερωτῶν εἰ οὐκ αἰσχύνομαι αὐτὸς μὲν ἐν τοῖς γυμνασίοις ὀχληρὸς ὢν καὶ πλείστων ἐραστὴς γεγονώς, τὸ δὲ πρᾶγμα εἰς ὄνειδος καὶ κινδύνους καθιστάς. Καὶ τὸ τελευταῖον, ὡς ἀπαγγέλλουσί τινές μοι, εἰς γέλωτα καὶ λῆρόν τινα προτρεπόμενος ὑμᾶς, ἐπιδείξεσθαί μου φησὶν ὅσα πεποίηκα ἐρωτικὰ εἴς τινας ποιήματα, καὶ λοιδοριῶν τινων καὶ πληγῶν ἐκ τοῦ πράγματος, αἳ περὶ ἐμὲ γεγένηνται, μαρτυρίας φησὶ παρέξεσθαι.

Ἐγὼ δὲ οὔτε ἔρωτα δίκαιον ψέγω, οὔτε τοὺς κάλλει διαφέροντάς φημι πεπορνεῦσθαι, οὔτ' αὐτὸς ἐξαρνοῦμαι μὴ οὐ[1] γεγονέναι ἐρωτικὸς καὶ ἔτι καὶ νῦν εἶναι, τάς τε ἐκ τοῦ πράγματος γιγνομένας πρὸς ἑτέρους φιλονεικίας καὶ μάχας οὐκ ἀρνοῦμαι μὴ οὐχὶ συμβεβηκέναι μοι. Περὶ δὲ τῶν ποιημάτων ὧν φασιν οὗτοί με πεποιηκέναι, τὰ μὲν ὁμολογῶ, τὰ δὲ ἐξαρνοῦμαι μὴ τοῦτον ἔχειν τὸν τρόπον, ὃν οὗτοι διαφθείροντες παρέξονται.

Ὁρίζομαι δ' εἶναι τὸ μὲν ἐρᾶν τῶν καλῶν καὶ σωφρόνων φιλανθρώπου πάθος καὶ εὐγνώμονος ψυχῆς, τὸ δὲ ἀσελγαίνειν ἀργυρίου τινὰ μισθούμενον ὑβριστοῦ καὶ ἀπαιδεύτου ἀνδρὸς ἔργον εἶναι· καὶ τὸ μὲν ἀδιαφθόρως ἐρᾶσθαί φημι καλὸν εἶναι, τὸ δ' ἐπαρθέντα μισθῷ πεπορνεῦσθαι αἰσχρόν.

ESCHINE

[1] Ici, comme après, négations explétives.

VERSION GRECQUE

Durée : 4 heures

QUI D'ACHILLE OU D'ULYSSE EST LE PLUS MENTEUR ?

Socrate interroge le sophiste Hippias sur Homère.

ΣΩΚΡΑΤΗΣ — Εἰπέ τε καὶ δίδαξον ἡμᾶς σαφῶς, τί ἔλεγες περὶ τούτοιν τοῖν ἀνδροῖν; Πῶς διέκρινες αὐτούς;

ΙΠΠΙΑΣ — Ἀλλ' ἐγώ σοι, ὦ Σώκρατες, ἐθέλω ἔτι σαφέστερον ἢ τότε διελθεῖν ἃ λέγω καὶ περὶ τούτων καὶ ἄλλων. Φημὶ γὰρ Ὅμηρον πεποιηκέναι ἄριστον μὲν ἄνδρα Ἀχιλλέα τῶν εἰς Τροίαν ἀφικομένων, σοφώτατον δὲ Νέστορα, πολυτροπώτατον δὲ Ὀδυσσέα.

ΣΩ. — Βαβαῖ, ὦ Ἱππία· ἆρ' ἄν τί μοι χαρίσαιο τοιόνδε, μή μου καταγελᾶν, ἐὰν μόγις μανθάνω τὰ λεγόμενα καὶ πολλάκις ἀνερωτῶ; Ἀλλά μοι πειρῶ πράως τε καὶ εὐκόλως ἀποκρίνεσθαι.

ΙΠ. — Αἰσχρὸν γὰρ ἂν εἴη, ὦ Σώκρατες, εἰ ἄλλους μὲν αὐτὰ ταῦτα παιδεύω καὶ ἀξιῶ διὰ ταῦτα χρήματα λαμβάνειν, αὐτὸς δὲ ὑπὸ σοῦ ἐρωτώμενος μὴ συγγνώμην τ' ἔχοιμι καὶ πράως ἀποκρινοίμην.

ΣΩ. — Πάνυ καλῶς λέγεις. Ἐγὼ γάρ τοι, ἡνίκα μὲν ἄριστον τὸν Ἀχιλλέα ἔφησθα πεποιῆσθαι, ἐδόκουν σου μανθάνειν ὅ τι ἔλεγες, καὶ ἡνίκα τὸν Νέστορα σοφώτατον· ἐπειδὴ δὲ τὸν Ὀδυσσέα εἶπες ὅτι πεποιηκὼς εἴη ὁ ποιητὴς πολυτροπώτατον, τοῦτο δ', ὥς γε πρὸς σὲ τἀληθῆ εἰρῆσθαι, παντάπασιν οὐκ οἶδ' ὅ τι λέγεις. Καί μοι εἰπέ, ἄν τι ἐνθένδε μᾶλλον μάθω· ὁ Ἀχιλλεὺς οὐ πολύτροπος τῷ Ὁμήρῳ πεποίηται;

ΙΠ. — Ἥκιστά γε, ὦ Σώκρατες, ἀλλ' ἁπλούστατος καὶ ἀληθέστατος.

PLATON

TRADUCTION ET COMMENTAIRE D'UN TEXTE GREC

LE MAL D'AMOUR

Le jeune et beau Critobule est passionnément amoureux de Clinias, un de ses camarades d'école, au point que son père, Criton, l'a confié à Socrate pour le guérir de ce mal. Socrate s'adresse à Critobule.

« – Tu ne cesseras donc jamais de penser à Clinias ? – Pour ne pas prononcer son nom, crois-tu que je penserai moins à lui ? Ne sais-tu pas que je garde son image dans mon cœur avec une telle netteté que, si j'étais capable de sculpter ou de peindre, je ne reproduirais pas moins fidèlement sa ressemblance d'après cette image que s'il était en personne devant mes yeux ? – Pourquoi donc, reprit Socrate, puisque tu en possèdes une image si ressemblante, m'importunes-tu pour m'entraîner aux lieux où tu pourras le voir ? – Parce que, Socrate, la vue de sa personne a le pouvoir de me rendre heureux, tandis que la vision de son image, sans me procurer aucune joie, éveille en moi le désir. » Hermogène intervint alors : « Ah ! pour moi Socrate, je ne trouve pas digne de toi que tu t'inquiètes si peu de cette violente passion amoureuse de Critobule. – Crois-tu donc, répliqua Socrate, que c'est depuis qu'il me fréquente qu'il s'est mis dans cet état ? – Quand donc alors ? – Ne vois-tu pas ce duvet naissant qui pousse le long de ses oreilles, tandis que la barbe de Clinias frise déjà ? C'est donc quand ils fréquentaient ensemble la même école que Critobule s'est mis à brûler pour lui de ce violent amour. S'en étant aperçu, son père me l'a confié dans l'espoir que je pourrais lui faire du bien. Au vrai, il est déjà beaucoup mieux. Auparavant, en effet, semblable à ceux qui regardent les Gorgones, il demeurait pétrifié les yeux fixés sur Clinias, et nulle part il ne le quittait. À présent, je l'ai déjà vu, il va jusqu'à cligner de l'œil. Mais, par les dieux, mes amis, je crois bien, soit dit entre nous, qu'il a donné un baiser à Clinias. Or, il n'est rien qui soit plus dangereux pour attiser l'amour. Car le baiser est chose insatiable et fait naître de douces espérances. Voilà pourquoi, je l'affirme, il faut s'abstenir d'embrasser les beaux garçons, si l'on veut être capable de se conduire chastement. »

« – Οὐ γὰρ παύσῃ σὺ Κλεινίου μεμνημένος; – Ἂν δὲ μὴ ὀνομάζω, ἧττόν τί με οἴει μεμνῆσθαι αὐτοῦ; Οὐκ οἶσθα ὅτι οὕτω σαφὲς ἔχω εἴδωλον αὐτοῦ ἐν τῇ ψυχῇ ὡς εἰ πλαστικὸς ἢ ζωγραφικὸς ἦν, οὐδὲν ἂν ἧττον ἐκ τοῦ εἰδώλου ἢ πρὸς αὐτὸν ὁρῶν ὅμοιον αὐτῷ ἀπειργασάμην; » Καὶ ὁ Σωκράτης ὑπέλαβε· « Τί δῆτα οὕτως ὅμοιον εἴδωλον ἔχων πράγματά μοι παρέχεις ἄγεις τε αὐτὸν ὅπου ὄψει; – Ὅτι, ὦ Σώκρατες, ἡ μὲν αὐτοῦ ὄψις εὐφραίνειν δύναται, ἡ δὲ τοῦ εἰδώλου τέρψιν μὲν οὐ παρέχει, πόθον δὲ ἐμποιεῖ. » Καὶ ὁ Ἑρμογένης εἶπεν· « Ἀλλ' ἐγώ, ὦ Σώκρατες, οὐδὲ πρὸς σοῦ ποιῶ τὸ περιιδεῖν Κριτόβουλον οὕτως ὑπὸ τοῦ ἔρωτος ἐκπλαγέντα. – Δοκεῖς γάρ, ἔφη ὁ Σωκράτης, ἐξ οὗ ἐμοὶ σύνεστιν οὕτω διατεθῆναι αὐτόν; – Ἀλλὰ πότε μήν; – Οὐχ ὁρᾷς ὅτι τούτῳ μὲν παρὰ τὰ ὦτα ἄρτι ἴουλος καθέρπει, Κλεινίᾳ δὲ πρὸς τὸ ὄπισθεν ἤδη ἀναβαίνει; Οὗτος οὖν συμφοιτῶν εἰς ταὐτὸ διδασκαλεῖον ἐκείνῳ τότε ἰσχυρῶς προσεκαύθη. Ἃ δὴ αἰσθόμενος ὁ πατὴρ παρέδωκέ μοι αὐτόν, εἴ τι δυναίμην ὠφελῆσαι. Καὶ μέντοι πολὺ βέλτιον ἤδη ἔχει. Πρόσθεν μὲν γάρ, ὥσπερ οἱ τὰς Γοργόνας θεώμενοι, λιθίνως ἔβλεπε πρὸς αὐτὸν καὶ οὐδαμοῦ ἀπῄει ἀπ' αὐτοῦ· νῦν δὲ ἤδη εἶδον αὐτὸν καὶ σκαρδαμύξαντα. Καίτοι νὴ τοὺς θεούς, ὦ ἄνδρες, δοκεῖ μοί γ', ἔφη, ὡς ἐν ἡμῖν αὐτοῖς εἰρῆσθαι, οὗτος καὶ πεφιληκέναι τὸν Κλεινίαν. Οὗ ἔρωτος οὐδέν ἐστι δεινότερον ὑπέκκαυμα. Καὶ γὰρ ἄπληστον καὶ ἐλπίδας τινὰς γλυκείας παρέχει. Οὗ ἕνεκα ἀφεκτέον ἐγώ φημι εἶναι φιλημάτων τῶν ὡραίων τῷ σωφρονεῖν δυνησομένῳ. »

Καὶ ὁ Χαρμίδης εἶπεν· « Ἀλλὰ τί δή ποτε, ὦ Σώκρατες, ἡμᾶς μὲν οὕτω τοὺς φίλους μορμολύττῃ ἀπὸ τῶν καλῶν, αὐτὸν δέ σε, ἔφη, ἐγὼ εἶδον ναὶ μὰ τὸν Ἀπόλλω, ὅτε παρὰ τῷ γραμματιστῇ ἐν τῷ αὐτῷ βιβλίῳ ἀμφότεροι ἐμαστεύετέ τι, τὴν κεφαλὴν πρὸς τῇ κεφαλῇ καὶ τὸν ὦμον γυμνὸν πρὸς γυμνῷ τῷ Κριτοβούλου ὤμῳ ἔχοντα. » Καὶ ὁ Σωκράτης· « Φεῦ, ἔφη, ταῦτ' ἄρα ἐγὼ ὥσπερ ὑπὸ θηρίου τινὸς δεδηγμένος τόν τε ὦμον πλεῖν ἢ πέντε ἡμέρας ὤδαξον καὶ ἐν τῇ καρδίᾳ ὥσπερ κνῆσμά τι ἐδόκουν ἔχειν. Ἀλλὰ νῦν τοί σοι, ἔφη, ὦ Κριτόβουλε, ἐναντίον τοσούτων μαρτύρων προαγορεύω μὴ ἅπτεσθαί μου πρὶν ἂν τὸ γένειον τῇ κεφαλῇ ὁμοίως κομήσῃς. » Καὶ οὗτοι μὲν δὴ οὕτως ἀναμὶξ ἔσκωψάν τε καὶ ἐσπούδασαν.

XÉNOPHON, *Banquet*.

Vous traduirez le texte grec qui ne l'est pas encore avant de commenter l'ensemble du passage.

VERSION GRECQUE

FEMME FATALE !

Isocrate réhabilite Pâris et la préférence qu'il accorda, lors du fameux jugement des déesses, à Aphrodite et à son offre de l'unir à Hélène.

Θαυμάζω δ' εἴ τις οἴεται κακῶς βεβουλεῦσθαι τὸν μετὰ ταύτης ζῆν ἑλόμενον, ἧς ἕνεκα πολλοὶ τῶν ἡμιθέων ἀποθνῄσκειν ἠθέλησαν. Πῶς δ' οὐκ ἂν ἦν ἀνόητος, εἰ τοὺς θεοὺς εἰδὼς περὶ κάλλους φιλονεικοῦντας αὐτὸς κάλλους κατεφρόνησεν, καὶ μὴ ταύτην ἐνόμισε μεγίστην εἶναι τῶν δωρεῶν, περὶ ἧς κἀκείνας ἑώρα μάλιστα σπουδαζούσας ;

Τίς δ' ἂν τὸν γάμον τὸν Ἑλένης ὑπερεῖδεν, ἧς ἁρπασθείσης οἱ μὲν Ἕλληνες οὕτως ἠγανάκτησαν ὥσπερ ὅλης τῆς Ἑλλάδος πεπορθημένης, οἱ δὲ βάρβαροι τοσοῦτον ἐφρόνησαν ὅσον περ ἂν εἰ πάντων ἡμῶν ἐκράτησαν. Δῆλον δ' ὡς ἑκάτεροι διετέθησαν· πολλῶν γὰρ αὐτοῖς πρότερον ἐγκλημάτων γενομένων ὑπὲρ μὲν τῶν ἄλλων ἡσυχίαν ἦγον, ὑπὲρ δὲ ταύτης τηλικοῦτον συνεστήσαντο πόλεμον οὐ μόνον τῷ μεγέθει τῆς ὀργῆς, ἀλλὰ καὶ τῷ μήκει τοῦ χρόνου καὶ τῷ πλήθει τῶν παρασκευῶν ὅσος οὐδεὶς πώποτε γέγονεν. Ἐξὸν δὲ τοῖς μὲν ἀποδοῦσιν Ἑλένην ἀπηλλάχθαι τῶν παρόντων κακῶν, τοῖς δ' ἀμελήσασιν ἐκείνης ἀδεῶς οἰκεῖν τὸν ἐπίλοιπον χρόνον, οὐδέτεροι ταῦτ' ἠθέλησαν· ἀλλ' οἱ μὲν περιεώρων καὶ πόλεις ἀναστάτους γιγνομένας καὶ τὴν χώραν πορθουμένην ὥστε μὴ προέσθαι τοῖς Ἕλλησιν αὐτήν, οἱ δ' ᾑροῦντο μένοντες ἐπὶ τῆς ἀλλοτρίας καταγηράσκειν καὶ μηδέποτε τοὺς αὐτῶν ἰδεῖν μᾶλλον ἢ 'κείνην καταλιπόντες εἰς τὰς αὐτῶν πατρίδας ἀπελθεῖν.

ISOCRATE

VERSION GRECQUE

L'Argent, roi de l'univers

Chrémyle et son esclave Carion essaient de convaincre Ploutos, dieu de la richesse, qu'il n'a rien à craindre des dieux ni de personne.

ΧΡΕΜΥΛΟΣ Ἐγὼ γὰρ ἀποδείξω σε τοῦ Διὸς πολὺ
μεῖζον δυνάμενον.
ΠΛΟΥΤΟΣ Ἐμὲ σύ;
ΧΡ. Νὴ τὸν οὐρανόν.
Αὐτίκα γὰρ ἄρχει διὰ τί ὁ Ζεὺς τῶν θεῶν;
ΚΑΡΙΩΝ Διὰ τἀργύριον· πλεῖστον γάρ ἐστ' αὐτῷ.
ΧΡ. Φέρε,
τίς οὖν ὁ παρέχων ἐστὶν αὐτῷ τοῦθ';
ΚΑ. Ὁδί[1].
ΧΡ. Θύουσι δ' αὐτῷ διὰ τίν'; Οὐ διὰ τουτονί;
ΚΑ. Καὶ νὴ Δί' εὔχονταί γε πλουτεῖν ἄντικρυς.
ΧΡ. Οὔκουν ὅδ' ἐστὶν αἴτιος καὶ ῥᾳδίως
παύσειεν, εἰ βούλοιτο, ταῦτ' ἄν;
ΠΛ. Ὅτι τί δή;
ΧΡ. Ὅτι οὐδ' ἂν εἷς θύσειεν ἀνθρώπων ἔτι
οὐ βοῦν ἄν, οὐχὶ ψαιστόν, οὐκ ἄλλ' οὐδὲ ἕν,
μὴ βουλομένου σοῦ.
ΠΛ. Πῶς;
ΧΡ. Ὅπως; οὐκ ἔσθ' ὅπως
ὠνήσεται δήπουθεν, ἢν σὺ μὴ παρὼν
αὐτὸς διδῷς τἀργύριον, ὥστε τοῦ Διὸς
τὴν δύναμιν, ἢν λυπῇ τι, καταλύσεις μόνος.
ΠΛ. Τί λέγεις; δι' ἐμὲ θύουσιν αὐτῷ;
ΧΡ. Φήμ' ἐγώ.
Καὶ νὴ Δί' εἴ τί γ' ἐστὶ λαμπρὸν καὶ καλὸν
ἢ χαρίεν ἀνθρώποισι, διὰ σὲ γίγνεται.
Ἅπαντα τῷ πλουτεῖν γάρ ἐσθ' ὑπήκοα.
ΚΑ. Ἔγωγέ τοι διὰ μικρὸν ἀργυρίδιον
δοῦλος γεγένημαι πρότερον ὢν ἐλεύθερος.
ΧΡ. Καὶ τάς γ' ἑταίρας φασὶ τὰς Κορινθίας,
ὅταν μὲν αὐτάς τις πένης πειρῶν τύχῃ,
οὐδὲ προσέχειν τὸν νοῦν, ἐὰν δὲ πλούσιος,
τὸν πρωκτὸν αὐτὰς εὐθὺς ὡς τοῦτον τρέπειν.
ΚΑ. Καὶ τούς γε παῖδάς φασι ταὐτὸ τοῦτο δρᾶν
οὐ τῶν ἐραστῶν, ἀλλὰ τἀργυρίου χάριν.

ARISTOPHANE

---

[1] Carion montre Ploutos.

VERSION GRECQUE

UN MARCHÉ DE DUPES

Alcibiade explique à Socrate pourquoi il juge que le célèbre philosophe est seul digne de devenir son éraste. Mais la réponse qu'il reçoit n'est pas celle qu'il attendait.

Σὺ ἐμοὶ δοκεῖς, ἦν δ' ἐγώ, ἐμοῦ ἐραστὴς ἄξιος γεγονέναι μόνος, καί μοι φαίνῃ ὀκνεῖν μνησθῆναι πρός με. Ἐγὼ δὲ οὑτωσὶ ἔχω · πάνυ ἀνόητον ἡγοῦμαι εἶναι σοὶ μὴ οὐ καὶ τοῦτο χαρίζεσθαι καὶ εἴ τι ἄλλο ἢ τῆς οὐσίας τῆς ἐμῆς δέοιο ἢ τῶν φίλων τῶν ἐμῶν. Ἐμοὶ μὲν γὰρ οὐδέν ἐστι πρεσβύτερον τοῦ ὡς ὅτι βέλτιστον ἐμὲ γενέσθαι, τούτου δὲ οἶμαί μοι συλλήπτορα οὐδένα κυριώτερον εἶναι σοῦ. Ἐγὼ δὴ τοιούτῳ ἀνδρὶ πολὺ μᾶλλον ἂν μὴ χαριζόμενος αἰσχυνοίμην τοὺς φρονίμους, ἢ χαριζόμενος τούς τε πολλοὺς καὶ ἄφρονας.

Καὶ οὗτος ἀκούσας μάλα εἰρωνικῶς καὶ σφόδρα ἑαυτοῦ τε καὶ εἰωθότως ἔλεξεν · « Ὦ φίλε Ἀλκιβιάδη, κινδυνεύεις τῷ ὄντι οὐ φαῦλος εἶναι, εἴπερ ἀληθῆ τυγχάνει ὄντα ἃ λέγεις περὶ ἐμοῦ καί τις ἔστ' ἐν ἐμοὶ δύναμις δι' ἧς ἂν σὺ γένοιο ἀμείνων · ἀμήχανόν τοι κάλλος ὁρῴης ἂν ἐν ἐμοὶ καὶ τῆς παρὰ σοὶ εὐμορφίας πάμπολυ διαφέρον. Εἰ δὴ καθορῶν αὐτὸ κοινώσασθαί τέ μοι ἐπιχειρεῖς καὶ ἀλλάξασθαι κάλλος ἀντὶ κάλλους, οὐκ ὀλίγῳ μου πλεονεκτεῖν διανοῇ, ἀλλ' ἀντὶ δόξης ἀλήθειαν καλῶν[1] κτᾶσθαι ἐπιχειρεῖς καὶ τῷ ὄντι " χρύσεα χαλκείων[2] " διαμείβεσθαι νοεῖς. Ἀλλ', ὦ μακάριε, ἄμεινον σκόπει, μή σε λανθάνω οὐδὲν ὤν. Ἥ τοι τῆς διανοίας ὄψις ἄρχεται ὀξὺ βλέπειν ὅταν ἡ τῶν ὀμμάτων τῆς ἀκμῆς λήγειν ἐπιχειρῇ · σὺ δὲ τούτων ἔτι πόρρω. »

PLATON

---

[1] Le mot καλῶν est en facteur commun.
[2] Forme épique pour χαλκέων.

VERSION GRECQUE

UN HÉRITAGE DISPUTÉ

Néoptolème, fils d'Achille, raconte à Philoctète son arrivée à Troie, où il était venu pour enterrer son père, qu'il n'a pas connu, et prendre possession de son héritage.

Ἦλθόν με νηὶ ποικιλοστόλῳ μέτα
δῖός τ' Ὀδυσσεὺς χὠ τροφεὺς τοὐμοῦ πατρός,
λέγοντες, εἴτ' ἀληθὲς εἴτ' ἄρ' οὖν μάτην,
ὡς οὐ θέμις γίγνοιτ', ἐπεὶ κατέφθιτο
πατὴρ ἐμός, τὰ πέργαμ' ἄλλον ἢ 'μ' ἑλεῖν.
Ταῦτ', ὦ ξέν', οὕτως ἐννέποντες οὐ πολὺν
χρόνον μ' ἐπέσχον μή με ναυστολεῖν ταχύ,
μάλιστα μὲν δὴ τοῦ θανόντος ἱμέρῳ,
ὅπως ἴδοιμ' ἄθαπτον· οὐ γὰρ εἰδόμην·
ἔπειτα μέντοι χὠ λόγος καλὸς προσῆν,
εἰ τἀπὶ Τροίᾳ πέργαμ' αἱρήσοιμ' ἰών.
Ἦν δ' ἦμαρ ἤδη δεύτερον πλέοντί μοι,
κἀγὼ πικρὸν Σίγειον οὐρίῳ πλάτῃ
κατηγόμην· καί μ' εὐθὺς ἐν κύκλῳ στρατὸς
ἐκβάντα πᾶς ἠσπάζετ', ὀμνύντες βλέπειν
τὸν οὐκέτ' ὄντα ζῶντ' Ἀχιλλέα πάλιν.
Κεῖνος μὲν οὖν ἔκειτ'· ἐγὼ δ' ὁ δύσμορος,
ἐπεὶ 'δάκρυσα κεῖνον, οὐ μακρῷ χρόνῳ
ἐλθὼν Ἀτρείδας προσφιλῶς, ὡς εἰκὸς ἦν,
τά θ' ὅπλ' ἀπῄτουν τοῦ πατρὸς τά τ' ἄλλ' ὅσ' ἦν.
Οἱ δ' εἶπον, οἴμοι, τλημονέστατον λόγον·
« Ὦ σπέρμ' Ἀχιλλέως, τἄλλα μὲν πάρεστί σοι
πατρῷ' ἑλέσθαι, τῶν δ' ὅπλων κείνων ἀνὴρ
ἄλλος κρατύνει νῦν, ὁ Λαέρτου γόνος. »

SOPHOCLE

VERSION GRECQUE

Le mariage imaginaire

Pour convaincre Clytemnestre d'amener leur fille à Aulis, Agamemnon a prétendu qu'Iphigénie devait épouser Achille, mais sans avertir ce dernier de sa ruse.

Clytemnestre sort de la tente d'Agamemnon.

ΚΛΥΤΑΙΜΗΣΤΡΑ

Ὦ παῖ θεᾶς Νηρῇδος, ἔνδοθεν λόγων
τῶν σῶν ἀκούσασ' ἐξέβην πρὸ δωμάτων.

ΑΧΙΛΛΕΥΣ

Ὦ πότνι' αἰδώς, τήνδε τίνα λεύσσω ποτὲ
γυναῖκα, μορφὴν εὐπρεπῆ κεκτημένην ;

Κλ. — Οὐ θαῦμά σ' ἡμᾶς ἀγνοεῖν, οἷς μὴ πάρος
προσῆκες · αἰνῶ δ' ὅτι σέβεις τὸ σωφρονεῖν.

Αχ. — Τίς δ' εἶ ; Τί δ' ἦλθες Δαναΐδων ἐς σύλλογον,
γυνὴ πρὸς ἄνδρας ἀσπίσιν πεφραγμένους[1] ;

Κλ. — Λήδας μέν εἰμι παῖς, Κλυταιμήστρα δέ μοι
ὄνομα, πόσις δέ μοὐστὶν Ἀγαμέμνων ἄναξ.

Αχ. — Καλῶς ἔλεξας ἐν βραχεῖ τὰ καίρια ·
αἰσχρὸν δέ μοι γυναιξὶ συμβάλλειν λόγους.

Κλ. — Μεῖνον – τί φεύγεις ; – δεξιάν τ' ἐμῇ χερὶ
σύναψον, ἀρχὴν μακαρίων νυμφευμάτων.

Αχ. — Τί φῄς ; Ἐγώ σοι δεξιάν ; Αἰδοίμεθ' ἂν
Ἀγαμέμνον', εἰ ψαύοιμεν ὧν μή μοι θέμις.

Κλ. — Θέμις μάλιστα, τὴν ἐμὴν ἐπεὶ γαμεῖς
παῖδ', ὦ θεᾶς παῖ ποντίας Νηρηΐδος.

Αχ. — Ποίους γάμους φῄς ; Ἀφασία μ' ἔχει, γύναι ·
εἰ μή τι παρανοοῦσα καινουργεῖς λόγον.

Κλ. — Πᾶσιν τόδ' ἐμπέφυκεν, αἰδεῖσθαι φίλους
καινοὺς ὁρῶσι καὶ γάμων μεμνημένους.

Αχ. — Οὐπώποτ' ἐμνήστευσα παῖδα σήν, γύναι,
οὐδ' ἐξ Ἀτρειδῶν ἦλθέ μοι λόγος γάμων.

EURIPIDE, *Iphigénie à Aulis*

---

[1] Voir φράσσω, attique φράττω.

VERSION GRECQUE

VIVE L'IMMIGRATION !

Le climat, le sol, la position géographique sont pour Athènes autant de sources de richesses, mais il en est d'autres encore

Τούτων μὲν οὖν ἁπάντων, ὥσπερ εἶπον, νομίζω αὐτὴν τὴν χώραν αἰτίαν εἶναι. Εἰ δὲ πρὸς τοῖς αὐτοφυέσιν ἀγαθοῖς πρῶτον μὲν τῶν μετοίκων ἐπιμέλεια γένοιτο (αὕτη γὰρ ἡ πρόσοδος τῶν καλλίστων ἔμοιγε δοκεῖ εἶναι, ἐπείπερ αὐτοὶ αὑτοὺς τρέφοντες καὶ πολλὰ ὠφελοῦντες τὰς πόλεις οὐ λαμβάνουσι μισθόν, ἀλλὰ μετοίκιον προσφέρουσιν), ἐπιμέλειά γε μὴν ἥδ' ἂν ἀρκεῖν μοι δοκεῖ, εἰ ἀφέλοιμεν μὲν ὅσα μηδὲν ὠφελοῦντα τὴν πόλιν ἀτιμίας δοκεῖ τοῖς μετοίκοις παρέχειν, ἀφέλοιμεν δὲ καὶ τὸ συστρατεύεσθαι ὁπλίτας μετοίκους τοῖς ἀστοῖς. Μέγας μὲν γὰρ ὁ κίνδυνος ἀπόντι· μέγα δὲ καὶ τὸ ἀπὸ τῶν τεχνῶν καὶ τῶν οἰκείων ἀπιέναι. Ἀλλὰ μὴν καὶ ἡ πόλις γ' ἂν ὠφεληθείη, εἰ οἱ πολῖται μετ' ἀλλήλων στρατεύοιντο μᾶλλον ἢ εἰ συντάττοιντο αὐτοῖς, ὥσπερ νῦν, Λυδοὶ καὶ Φρύγες καὶ Σύροι καὶ ἄλλοι παντοδαποὶ βάρβαροι· πολλοὶ γὰρ τοιοῦτοι τῶν μετοίκων. Πρὸς δὲ τῷ ἀγαθῷ τῷ τούτους τοῦ συντάττεσθαι ἀφεθῆναι, καὶ κόσμος ἂν τῇ πόλει εἴη, εἰ δοκοῖεν Ἀθηναῖοι εἰς τὰς μάχας αὐτοῖς μᾶλλον πιστεύειν ἢ ἀλλοδαποῖς. Καὶ μεταδιδόντες δ' ἄν μοι δοκοῦμεν τοῖς μετοίκοις τῶν τ' ἄλλων ὧν καλὸν μεταδιδόναι καὶ τοῦ ἱππικοῦ[1] εὐνουστέρους ἂν ποιεῖσθαι καὶ ἅμα ἰσχυροτέραν ἂν καὶ μείζω τὴν πόλιν ἀποδεικνύναι.

XÉNOPHON

[1] Servir dans la cavalerie était un privilège.

VERSION GRECQUE

Andocide ne saurait faire oublier sa jeunesse impie

Ἀδύνατον δὲ καὶ ὑμῖν ἐστι, περὶ τοιούτου πράγματος φέρουσι τὴν ψῆφον, ἢ κατελεῆσαι ἢ καταχαρίσασθαι Ἀνδοκίδῃ. Φέρε γάρ, ἂν νυνὶ Ἀνδοκίδης ἀθῷος ἀπαλλαγῇ δι' ὑμᾶς ἐκ τοῦδε τοῦ ἀγῶνος καὶ ἔλθῃ κληρωσόμενος τῶν ἐννέα ἀρχόντων καὶ λάχῃ βασιλεύς, ἄλλο τι ἢ ὑπὲρ ὑμῶν καὶ θυσίας θύσει καὶ εὐχὰς εὔξεται κατὰ τὰ πάτρια, τὰ μὲν ἐν τῷ ἐνθάδε Ἐλευσινίῳ, τὰ δὲ ἐν τῷ Ἐλευσῖνι ἱερῷ, καὶ τῆς ἑορτῆς ἐπιμελήσεται μυστηρίοις, ὅπως ἂν μηδεὶς ἀδικῇ μηδὲ ἀσεβῇ περὶ τὰ ἱερά ; Καὶ τίνα γνώμην οἴεσθε ἕξειν τοὺς μύστας τοὺς ἀφικνουμένους, ἐπειδὰν ἴδωσι τὸν βασιλέα ὅστις ἐστὶ καὶ ἀναμνησθῶσι πάντα τὰ ἠσεβημένα αὐτῷ, ἢ τοὺς ἄλλους Ἕλληνας, οἳ ἕνεκα ταύτης τῆς ἑορτῆς ἔρχονται ἢ θύειν εἰς ταύτην τὴν πανήγυριν βουλόμενοι ἢ θεωρεῖν ; Οὐδὲ γὰρ ἀγνὼς ὁ Ἀνδοκίδης οὔτε τοῖς ἔξω οὔτε τοῖς ἐνθάδε διὰ τὰ ἠσεβημένα. Ἀναγκαίως γὰρ ἔχει ἀπὸ τῶν πολὺ διαφερόντων ἢ κακῶν ἢ ἀγαθῶν ἔργων τοὺς ποιήσαντας γιγνώσκεσθαι. Ἔπειτα δὲ καὶ διώχληκε πόλεις πολλὰς ἐν τῇ ἀποδημίᾳ, Σικελίαν, Ἰταλίαν, Πελοπόννησον, Θετταλίαν, Ἑλλήσποντον, Ἰωνίαν, Κύπρον · βασιλέας πολλοὺς κεκολάκευκεν, ᾧ ἂν ξυγγένηται, πλὴν τοῦ Συρακοσίου Διονυσίου. Οὗτος δὲ ἢ πάντων εὐτυχέστατός ἐστιν ἢ πλεῖστον γνώμῃ διαφέρει τῶν ἄλλων, ὃς μόνος τῶν συγγενομένων Ἀνδοκίδῃ οὐκ ἐξηπατήθη ὑπ' ἀνδρὸς τοιούτου, ὃς τέχνην ταύτην ἔχει, τοὺς μὲν ἐχθροὺς μηδὲν ποιεῖν κακόν, τοὺς δὲ φίλους ὅ τι ἂν δύνηται κακόν. Ὥστε μὰ τὸν Δία οὐ ῥᾴδιόν ἐστιν ὑμῖν αὐτῷ οὐδὲν χαρισαμένοις παρὰ τὸ δίκαιον λαθεῖν τοὺς Ἕλληνας.

LYSIAS, *Contre Andocide, affaire d'impiété*

VERSION GRECQUE

CLYTEMNESTRE SE JUSTIFIE DEVANT SA FILLE ÉLECTRE.

Ἡμᾶς δ' ἔδωκε Τυνδάρεως τῷ σῷ πατρὶ
οὐχ ὥστε θνήσκειν οὐδ' ἃ γειναίμην ἐγώ.
Κεῖνος δὲ παῖδα τὴν ἐμὴν Ἀχιλλέως
λέκτροισι πείσας ᾤχετ' ἐκ δόμων ἄγων
πρυμνοῦχον Αὖλιν, ἔνθ' ὑπερτείνας πυρᾶς
λευκὴν διήμησ' Ἰφιγόνης παρηίδα.
Κεἰ μὲν πόλεως ἅλωσιν ἐξιώμενος
ἢ δῶμ' ὀνήσων τἄλλα τ' ἐκσῴζων τέκνα
ἔκτεινε πολλῶν μίαν ὕπερ, συγγνώστ' ἂν ἦν.
Νῦν δ' οὕνεχ' Ἑλένη μάργος ἦν ὅ τ' αὖ λαβὼν
ἄλοχον κολάζειν προδότιν οὐκ ἠπίστατο,
τούτων ἕκατι παῖδ' ἐμὴν διώλεσεν.
Ἐπὶ τοῖσδε τοίνυν καίπερ ἠδικημένη
οὐκ ἠγριώμην οὐδ' ἂν ἔκτανον πόσιν.
Ἀλλ' ἦλθ' ἔχων μοι μαινάδ' ἔνθεον κόρην
λέκτροις τ' ἐπεισέφρησε, καὶ νύμφα δύο
ἐν τοῖσιν αὐτοῖς δώμασιν κατεῖχ' ὁμοῦ.
Μῶρον μὲν οὖν γυναῖκες, οὐκ ἄλλως λέγω·
ὅταν δ', ὑπόντος τοῦδ', ἁμαρτάνῃ πόσις
τἄνδον παρώσας λέκτρα, μιμεῖσθαι θέλει
γυνὴ τὸν ἄνδρα χἄτερον κτᾶσθαι φίλον.
Κἄπειτ' ἐν ἡμῖν ὁ ψόγος λαμπρύνεται,
οἱ δ' αἴτιοι τῶνδ' οὐ κλύουσ' ἄνδρες κακῶς.

EURIPIDE.

VERSION GRECQUE

Rodomontades de Démosthène

Ἐνταῦθ'[1] ἡμῖν ἀπόδειξιν ποίησαι, Δημόσθενες, τί ποτ' ἦν ἃ ἔπραξας, ἢ τί ποτ' ἦν ἃ ἔλεγες· καὶ εἰ βούλει, παραχωρῶ σοι τοῦ βήματος, ἕως ἂν εἴπῃς. Ἐπειδὴ δὲ σιγᾷς, ὅτι μὲν ἀπορεῖς, συγγνώμην ἔχω σοι, ἃ δὲ τότ' ἔλεγες, ἐγὼ νυνὶ λέξω.

Οὐ μέμνησθε αὐτοῦ τὰ μιαρὰ καὶ ἀπίθανα ῥήματα, ἃ πῶς ποθ' ὑμεῖς, ὦ σιδηροῖ, ἐκαρτερεῖτε ἀκροώμενοι; ὅτ' ἔφη παρελθών· « Ἀμπελουργοῦσί τινες τὴν πόλιν, ὑποτέτμηται τὰ νεῦρα τοῦ δήμου, φορμορραφούμεθα, ἐπὶ τὰ στενά τινες ὥσπερ τὰς βελόνας διείρουσι. » Ταῦτα δὲ τί ἐστιν, ὦ κίναδος; ῥήματα ἢ θαύματα; Καὶ πάλιν ὅτε κύκλῳ περιδινῶν σεαυτὸν ἐπὶ τοῦ βήματος ἔλεγες, ὡς ἀντιπράττων Ἀλεξάνδρῳ· « Ὁμολογῶ τὰ Λακωνικὰ συστῆσαι, ὁμολογῶ Θετταλοὺς καὶ Περραιβοὺς ἀφιστάναι.» Σὺ Θετταλοὺς ἀφιστάναι; Σὺ γὰρ ἂν κώμην ἀποστήσειας; Σὺ γὰρ ἂν προσέλθοις μὴ ὅτι πρὸς πόλιν, ἀλλὰ πρὸς οἰκίαν, ὅπου κίνδυνος πάρεστιν; Ἀλλ' εἰ μέν που χρήματα ἀναλίσκεται, προσκαθιζήσει, πρᾶξιν δὲ ἀνδρὸς οὐ πράξεις· ἐὰν δ' αὐτόματόν τι συμβῇ, προσποιήσῃ καὶ σεαυτὸν ἐπὶ τὸ γεγενημένον ἐπιγράψεις· ἂν δ' ἔλθῃ φόβος τις, ἀποδράσῃ· ἂν δὲ θαρρήσωμεν, δωρεὰς αἰτήσεις καὶ χρυσοῖς στεφάνοις ἀξιώσεις στεφανοῦσθαι.

— Ναί, ἀλλὰ[2] δημοτικός ἐστιν.

Ἂν μὲν τοίνυν πρὸς τὴν εὐφημίαν αὐτοῦ τῶν λόγων ἀποβλέπητε, ἐξαπατηθήσεσθε, ὥσπερ καὶ πρότερον, ἐὰν δ' εἰς τὴν φύσιν καὶ τὴν ἀλήθειαν, οὐκ ἐξαπατηθήσεσθε.

Eschine

---

[1] À l'époque où différentes cités grecques tentaient de se soulever contre le pouvoir macédonien.

[2] « Oui, dira-t-on, mais… »

VERSION GRECQUE

Durée : 4 heures

Les hommes politiques et les sophistes ont bien tort de se plaindre

(propos de Socrate à Calliclès)

ΣΩΚΡΑΤΗΣ. – Καίτοι ἔγωγε ἀνόητον πρᾶγμα καὶ νῦν ὁρῶ γιγνόμενον καὶ ἀκούω τῶν παλαιῶν ἀνδρῶν πέρι. Αἰσθάνομαι γάρ, ὅταν ἡ πόλις τινὰ τῶν πολιτικῶν ἀνδρῶν μεταχειρίζηται ὡς ἀδικοῦντα, ἀγανακτούντων καὶ σχετλιαζόντων ὡς δεινὰ πάσχουσι· πολλὰ καὶ ἀγαθὰ τὴν πόλιν πεποιηκότες ἄρα ἀδίκως ὑπ' αὐτῆς ἀπόλλυνται, ὡς ὁ τούτων λόγος. Τὸ δὲ ὅλον ψεῦδός ἐστιν· προστάτης γὰρ πόλεως οὐδ' ἂν εἷς ποτε ἀδίκως ἀπόλοιτο ὑπ' αὐτῆς τῆς πόλεως ἧς προστατεῖ. Κινδυνεύει γὰρ ταὐτὸν εἶναι, ὅσοι τε πολιτικοὶ προσποιοῦνται εἶναι καὶ ὅσοι σοφισταί. Καὶ γὰρ οἱ σοφισταί, τἆλλα σοφοὶ ὄντες, τοῦτο ἄτοπον ἐργάζονται πρᾶγμα· φάσκοντες γὰρ ἀρετῆς διδάσκαλοι εἶναι πολλάκις κατηγοροῦσιν τῶν μαθητῶν ὡς ἀδικοῦσι σφᾶς αὐτούς, τούς τε μισθοὺς ἀποστεροῦντες καὶ ἄλλην χάριν οὐκ ἀποδιδόντες, εὖ παθόντες ὑπ' αὐτῶν· καὶ τούτου τοῦ λόγου τί ἂν ἀλογώτερον εἴη πρᾶγμα, ἀνθρώπους ἀγαθοὺς καὶ δικαίους γενομένους, ἐξαιρεθέντας μὲν ἀδικίαν ὑπὸ τοῦ διδασκάλου, σχόντας δὲ δικαιοσύνην, ἀδικεῖν τούτῳ ὃ οὐκ ἔχουσιν; Οὐ δοκεῖ σοι τοῦτο ἄτοπον εἶναι, ὦ ἑταῖρε; Ὡς ἀληθῶς δημηγορεῖν με ἠνάγκασας, ὦ Καλλίκλεις, οὐκ ἐθέλων ἀποκρίνεσθαι.

Platon, *Gorgias*.

IMPRIMERIE NATIONALE. – D'après documents fournis.

VERSION GRECQUE

L'orateur propose, la fortune dispose

Εἰ μετὰ τῆς αὐτῆς γνώμης, ὦ ἄνδρες Ἀθηναῖοι, τούς τε λόγους ἠκούετε τῶν συμβουλευόντων καὶ τὰ πράγματ' ἐκρίνετε, πάντων ἀσφαλέστατον ἦν ἂν τὸ συμβουλεύειν. Καὶ γὰρ εὐτυχῶς καὶ ἄλλως πράξασι (λέγειν γὰρ εὐφήμως πάντα δεῖ) κοίν' ἂν ἦν τὰ τῆς αἰτίας ὑμῖν καὶ τῷ πείσαντι. Νῦν δ' ἀκούετε μὲν τῶν ἃ βούλεσθε λεγόντων ἥδιστα, αἰτιᾶσθε δὲ πολλάκις ἐξαπατᾶν ὑμᾶς αὐτούς, ἐὰν μὴ πάνθ' ὃν ἂν ὑμεῖς τρόπον βούλησθε γένηται, οὐ λογιζόμενοι τοῦθ' ὅτι τοῦ μὲν ζητῆσαι καὶ λογίσασθαι τὰ βέλτιστα, ὡς ἄνθρωπος, καὶ πρὸς ὑμᾶς εἰπεῖν αὐτὸς ἕκαστός ἐστιν κύριος, τοῦ δὲ πραχθῆναι ταῦτα καὶ συνενεγκεῖν ἐν τῇ τύχῃ τὸ πλεῖστον μέρος γίγνεται. Ἔστιν δ' ἄνθρωπον ὄντ' ἀγαπητὸν τῆς αὑτοῦ διανοίας λόγον ὑπέχειν· τῆς δὲ τύχης προσυποσχεῖν ἕν τι τῶν ἀδυνάτων. Εἰ μὲν οὖν ηὑρημένον ἦν πῶς ἄν τις ἀσφαλῶς ἄνευ κινδύνου δημηγοροίη, μανί' ἂν παραλιπεῖν τοῦτον ἦν τὸν τρόπον· ἐπεὶ δ' ἀνάγκη τὸν περὶ τῶν μελλόντων πραγμάτων γνώμην ἀποφαινόμενον κοινωνεῖν τοῖς ἀπ' αὐτῶν γενομένοις καὶ μετέχειν τῆς ἀπὸ τούτων αἰτίας, αἰσχρὸν ἡγοῦμαι λέγειν μὲν ὡς εὔνους, μὴ ὑπομένειν δέ, εἴ τις ἐκ τούτου κίνδυνος ἔσται.

Εὔχομαι δὲ τοῖς θεοῖς, ἃ καὶ τῇ πόλει κἀμοὶ συμφέρειν μέλλει, ταῦτ' ἐμοί τ' εἰπεῖν ἐλθεῖν ἐπὶ νοῦν καὶ ὑμῖν ἑλέσθαι. Τὸ γὰρ πάντα τρόπον ζητεῖν νικῆσαι, δυοῖν θάτερον, ἢ μανίας ἢ κέρδους ἕνεκ' ἐσπουδακότος φήσαιμ' ἂν εἶναι.

DÉMOSTHÈNE

VERSION GRECQUE

Durée : 4 heures

Ce qu'on attend d'un bon historien

Μάλιστα δὲ καὶ πρὸ τῶν πάντων ἐλεύθερος ἔστω τὴν γνώμην καὶ μήτε φοβείσθω μηδένα μήτε ἐλπιζέτω μηδέν, ἐπεὶ ὅμοιος ἔσται τοῖς φαύλοις δικασταῖς πρὸς χάριν ἢ πρὸς ἀπέχθειαν ἐπὶ μισθῷ δικάζουσιν. Ἀλλὰ μὴ μελέτω αὐτῷ μήτε Φίλιππος ἐκκεκομμένος τὸν ὀφθαλμὸν ὑπὸ Ἀστέρος τοῦ Ἀμφιπολίτου τοῦ τοξότου ἐν Ὀλύνθῳ, ἀλλὰ τοιοῦτος οἷος ἦν δειχθήσεται˙ μήτ' εἰ Ἀλέξανδρος ἀνιάσεται ἐπὶ τῇ Κλείτου σφαγῇ ὠμῶς ἐν τῷ συμποσίῳ γενομένῃ, εἰ σαφῶς ἀναγράφοιτο˙ οὐδὲ Κλέων αὐτὸν φοβήσει μέγα ἐν τῇ ἐκκλησίᾳ δυνάμενος καὶ κατέχων τὸ βῆμα, ὡς μὴ εἰπεῖν ὅτι ὀλέθριος καὶ μανικὸς ἄνθρωπος οὗτος ἦν˙ οὐδὲ ἡ σύμπασα πόλις τῶν Ἀθηναίων, ἢν τὰ ἐν Σικελίᾳ κακὰ ἱστορῇ καὶ τὴν Δημοσθένους λῆψιν καὶ τὴν Νικίου τελευτὴν καὶ ὡς ἐδίψων καὶ οἷον τὸ ὕδωρ ἔπινον καὶ ὡς ἐφονεύοντο πίνοντες οἱ πολλοί. Ἡγήσεται γάρ – ὅπερ δικαιότατον – ὑπ' οὐδενὸς τῶν νοῦν ἐχόντων αὐτὸς ἕξειν τὴν αἰτίαν ἢν τὰ δυστυχῶς ἢ ἀνοήτως γεγενημένα ὡς ἐπράχθη διηγῆται – οὐ γὰρ ποιητὴς αὐτῶν ἀλλὰ μηνυτὴς ἦν. Ὥστε κἂν καταναυμαχῶνται τότε οὐκ ἐκεῖνος ὁ καταδύων ἐστὶ κἂν φεύγωσιν οὐκ ἐκεῖνος ὁ διώκων (...).

Ἓν γάρ, ὡς ἔφην, τοῦτο ἴδιον ἱστορίας, καὶ μόνῃ θυτέον τῇ ἀληθείᾳ, εἴ τις ἱστορίαν γράψων ἴοι, τῶν δὲ ἄλλων ἁπάντων ἀμελητέον αὐτῷ, καὶ ὅλως πῆχυς εἷς καὶ μέτρον ἀκριβές, ἀποβλέπειν μὴ εἰς τοὺς νῦν ἀκούοντας ἀλλ' εἰς τοὺς μετὰ ταῦτα συνεσομένους τοῖς συγγράμμασιν.

Lucien, *Comment il faut écrire l'histoire.*

IMPRIMERIE NATIONALE. – D'après documents fournis partiellement.

VERSION GRECQUE

De l'utilité du poète comique, en général, et d'Aristophane, en particulier (paroles du coryphée directement adressées au public athénien)

Ἐξ οὗ γε χοροῖσιν ἐφέστηκεν τρυγικοῖς ὁ διδάσκαλος ἡμῶν,
οὔπω παρέβη πρὸς τὸ θέατρον λέξων ὡς δεξιός ἐστιν·
διαβαλλόμενος δ' ὑπὸ τῶν ἐχθρῶν ἐν Ἀθηναίοις ταχυβούλοις,
ὡς κωμῳδεῖ τὴν πόλιν ἡμῶν καὶ τὸν δῆμον καθυβρίζει,
ἀποκρίνασθαι δεῖται νυνὶ πρὸς Ἀθηναίους μεταβούλους.
Φησὶν δ' εἶναι πολλῶν ἀγαθῶν αἴτιος ὑμῖν ὁ ποητής,
παύσας ὑμᾶς ξενικοῖσι λόγοις μὴ λίαν ἐξαπατᾶσθαι,
μήθ' ἥδεσθαι θωπευομένους, μήτ' εἶναι χαυνοπολίτας.
Πρότερον δ' ὑμᾶς ἀπὸ τῶν πόλεων[1] οἱ πρέσβεις ἐξαπατῶντες
πρῶτον μὲν ἰοστεφάνους ἐκάλουν· κἀπειδὴ τοῦτό τις εἴποι,
εὐθὺς διὰ τοὺς στεφάνους ἐπ' ἄκρων τῶν πυγιδίων ἐκάθησθε.
Εἰ δέ τις ὑμᾶς ὑποθωπεύσας λιπαρὰς καλέσειεν Ἀθήνας,
ηὕρετο πᾶν ἂν διὰ τὰς λιπαράς, ἀφύων τιμὴν περιάψας.
Ταῦτα ποήσας πολλῶν ἀγαθῶν αἴτιος ὑμῖν γεγένηται,
καὶ τοὺς δήμους ἐν ταῖς πόλεσιν δείξας ὡς δημοκρατοῦνται.
Τοιγάρτοι νῦν οὑκ[2] τῶν πόλεων τὸν φόρον ὑμῖν ἀπάγοντες
ἥξουσιν ἰδεῖν ἐπιθυμοῦντες τὸν ποιητὴν τὸν ἄριστον,
ὅστις παρεκινδύνευσ' ἐν Ἀθηναίοις εἰπεῖν τὰ δίκαια.
Οὕτω δ' αὐτοῦ περὶ τῆς τόλμης ἤδη πόρρω κλέος ἥκει,
ὅτε καὶ βασιλεὺς Λακεδαιμονίων τὴν πρεσβείαν βασανίζων
ἠρώτησεν πρῶτα μὲν αὐτοὺς πότεροι ταῖς ναυσὶ κρατοῦσιν,
εἶτα δὲ τοῦτον τὸν ποιητὴν ποτέρους εἴποι κακὰ πολλά·
τούτους γὰρ ἔφη τοὺς ἀνθρώπους πολὺ βελτίους γεγενῆσθαι
καὶ τῷ πολέμῳ πολὺ νικήσειν τοῦτον ξύμβουλον ἔχοντας.

Aristophane

---

[1] Les cités alliées, comme aussi au vers 15.
[2] = (ici) οἱ ἐκ.

VERSION GRECQUE

Durée : 4 heures

CONTRE LES ATHLÈTES

Κακῶν γὰρ ὄντων μυρίων καθ' Ἑλλάδα
οὐδὲν κάκιόν ἐστιν ἀθλητῶν γένους·
οἳ πρῶτον οἰκεῖν οὔτε μανθάνουσιν εὖ
οὔτ' ἂν δύναιντο· πῶς γὰρ ὅστις ἔστ' ἀνὴρ
γνάθου τε δοῦλος νηδύος θ' ἡσσημένος
κτήσαιτ' ἂν ὄλβον εἰς ὑπερβολὴν πατρός;
Οὐδ' αὖ πένεσθαι κἀξυπηρετεῖν τύχαις
οἷοί τ'· ἔθη γὰρ οὐκ ἐθισθέντες καλὰ
σκληρῶς μεταλλάσσουσιν εἰς τἀμήχανον.
Λαμπροὶ δ' ἐν ἥβῃ καὶ πόλεως ἀγάλματα
φοιτῶσ'· ὅταν δὲ προσπέσῃ γῆρας πικρόν,
τρίβωνες ἐκβαλόντες οἴχονται κρόκας.
Ἐμεμψάμην δὲ καὶ τὸν Ἑλλήνων νόμον,
οἳ τῶνδ' ἕκατι σύλλογον ποιούμενοι
τιμῶσ' ἀχρείους ἡδονὰς δαιτὸς χάριν.
Τίς γὰρ παλαίσας εὖ, τίς ὠκύπους ἀνὴρ
ἢ δίσκον ἄρας ἢ γνάθον παίσας καλῶς
πόλει πατρῴᾳ στέφανον ἤρκεσεν λαβών;
Πότερα μαχοῦνται πολεμίοισιν ἐν χεροῖν
δίσκους ἔχοντες ἢ δι' ἀσπίδων χερὶ
θείνοντες ἐκβαλοῦσι πολεμίους πάτρας;
Οὐδεὶς σιδήρου ταῦτα μωραίνει πέλας
στάς. Ἄνδρας <οὖν> χρὴ <τοὺς> σοφούς τε κἀγαθοὺς
φύλλοις στέφεσθαι, χὤστις ἡγεῖται πόλει
κάλλιστα σώφρων καὶ δίκαιος ὢν ἀνήρ.

EURIPIDE.